πολυτελέστατον, κοσμούμενον ὑπὸ ἐπιγραφῶν χρυσῶν, ἀρχικῶν γραμμάτων μικρῶν χρυσῶν, ἐν δὲ τοῖς πρώτοις φύλλοις ὑπὸ πλουσίων εἰκόνων. Ἡ ὕλα πλατυτάτη, τὸ δὲ γεγραμμένον μέρος ἑκατέρας τῶν σελίδων ἔχει πλάτος μὲν μόνον μ. 0, 045, μῆκος δὲ μ. 0, 13. Πολλαχοῦ δ' ἐν τῇ ὕλᾳ εὑρηνται κυανοῖ στρογγύλοι θυρεοὶ διαμέτρου μ. 0, 025 περιέχοντες εἰκόνας πτηνῶν ἢ ἄλλων ζῴων. Ἐν ἀρχῇ ἑκάστου τῶν Εὐαγγελιστῶν ἐπίτιτλα κοσμήματα λεπτότατα καὶ κομψότατα. Ἐν τοῖς φύλλοις 2 α, 3 α, 4 β, 5 α, 6 β, 7 α, 8 β, 9 α, 14 β καὶ 15 α εἰσὶν ἀναγεγραμμένοι ἐν στήλαις χρυσαῖς διὰ χρυσῶν γραμμάτων οἱ Κανόνες τῆς ἀναλογίας τῶν Εὐαγγελίων διὰ μέσου κιόνων ὡσεὶ μαρμαροκονίᾳ ἐπικεχρισμένων, κάτωθεν δ' ἀψίδων ἐχουσῶν τὸ τύμπανον πολυτελέστατα καὶ κομψότατα κεκοσμημένον. Ὑπὲρ δὲ τὰς ἀψίδας φέρεται πτηνὸν, ἐξεικονισμένον ἐντεχνότατα.—Ἐν τοῖς φύλλοις 10 β, 11 α, 12 β καὶ 13 α εἰκόνες τῶν τεσσάρων Εὐαγγελιστῶν ἐν πλούτῳ μὲν χρωμάτων, ἀλλ' ἄτεχνοι. Ἑκάστης δ' αὐτῶν τὸ μὲν μῆκος μ. 0, 23, τὸ δὲ πλάτος μ. 0, 20.—Ἐν τοῖς φύλλοις 10 α, 11 β, 12 α καὶ 13 β φέρονται ἐν μέσῳ τῶν σελίδων κοσμουμένων διὰ πλουσίων περιθωρίων ἐν στραγγύλοις θυρεοῖς λεπτῶς ἐπεξειργασμέναι εἰκόνες τοῦ ἁγίου Ἀντωνίου, τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ καὶ τοῦ ἁγίου Εὐθυμίου. Ἕκαστος τῶν θυρεῶν τούτων ἔχει διάμετρον μ. 0, 058.

909. 44. Περγ. 4. XIII. σελ. 2.
Μηναῖον Μαρτίου μέχρι καὶ Αὐγούστου.

Ἐν φ. 1 β τὰ ἑξῆς·

Ἡ βίβλος ἥδε τῆς μονῆς Ἀκαπνίου·
ὁ γοῦν συλήσων μὴ γραφῇ ζωῆς βίβλῳ.
Περιελήφθη τῇδε τῇ βίβλῳ τάδε·

Μὴν Μάρτιος.....α.
Μὴν Ἀπρίλλιος...β.
Μὴν Μάϊος.....γ.
Μὴν Ἰούνιος..... δ.
Μὴν Ἰούλιος..... ε.
Μὴν Αὔγουστος ς.

Ταῦτα τὰ ἓξ σημεῖα τῶν ψήφων κρατῶν ῥᾳδίαν τοῦ ζητουμένου μηνὸς τὴν εὕρεσιν σχοίης· ἑκατὸν γὰρ τούτων ἐν ὅλοις τοῖς περιειλημμένοις ὑμέσι τῷ μηνὶ παρέσπαρται κατὰ τὸ μέσον τῶν δεξιῶν σελίδων πρὸ τῆς τῶν γραμμάτων ἀρχῆς.

Ἐν τέλει·

Ἀρχὴ σὺ Χριστὲ καὶ πάλιν σὺ τέρμα πέλεις
ὁ καταξιώσας με τῆς δέλτου ταύτης
τὸ τέλος ἰδεῖν, ἀνακογχὴν εὑρᾶσθαι
καὶ ἐμὲ τὸν δείλαιον Χριστέ μου σώσον,
τοὺς σολοικισμούς μου δὲ Χριστὲ συγχώρει
τοῦ χωρικογράφου τὲ καὶ ἀμ[illegible]ώδους
Γερασίμου ταπεινοῦ, ἀθλίου ἰδιώτου.

Καὶ κατωτέρω, πιθανῶς τῇ αὐτῇ χειρὶ Ἔτους ,ϛψπβ' (=1274), ἔτι δὲ κατωτέρω Γεώργιος Σέρβος.

***910.** 45. Περγ. 4. XII.

1. Συναξάριον τοῦ Εὐαγγελίου.
2. Τετραευάγγελον.
3. Πραξαπόστολος.
4. Συναξάριον τῶν πράξεων καὶ Ἐπιστολῶν.

Κοσμεῖται ὑπὸ ἑπτὰ εἰκόνων. 1. Ἡ Θεοτόκος καὶ παρ' αὐτὴν ὁ νεαρὸς Ἰησοῦς μετ' ἐπιγραφῆς Ὁ ΑΝΑΠΕCΩΝ ΚΕΚΙΟΝΗCΕ (sic) ὡC ΛΕΩΝ ΚΑΙ ὡC CΚΥΜΝΟC ΤΙC ΑΙΓΗΡΟΙ (=ἐγείρει) ΒΑCΙΛΕΥ. 2. Ματθαῖος. 3. Μάρκος. 4. Λουκᾶς. 5. Ἰωάννης. 6. Πέτρος. 7. Παῦλος. Αἱ εἰκόνες εἰσὶν ἄτεχνοι, τινὲς δὲ καὶ ἐφθαρμέναι.

*911. 46. Περγ. 4. XII. (φ. 431).

Ψαλτήριον μετὰ καὶ τῶν Ὠδῶν.

Κῶδιξ ἐξόχως πολυτελὴς, ἀληθὲς κειμήλιον τέχνης. Γέγραπται ὅλος γράμμασι χρυσοῖς. Κοσμεῖται δὲ ὑπὸ 31 πλουσίων ἐπιτίτλων καὶ 165 ποικιλωτάτων καὶ καλλιτεχνικωτάτων ὡς τὸ πλεῖστον ἀρχικῶν γραμμάτων, ἐχόντων ὡς ἐπικρατέστερα χρώματα πλὴν τοῦ χρυσοῦ τὸ πορφυροῦν, τὸ βαθὺ κυανοῦν, τὸ λευκὸν καὶ σπανίως τὸ πράσινον. Ἐν φ. 2 β εἰκὼν παριστῶσα ἐντὸς ἐδάφους χρυσοῦ, περιβαλλομένου ὑπὸ περιθωρίου πολυσχηματίστου καὶ ποικιλωτάτου, τὸν Δαυίδ. Παρίσταται δ' οὗτος ὄρθιος, γενειῶν, φέρων στέμμα καὶ περιβεβλημένος ποδήρη πορφυρᾶν ἐσθῆτα, κεκοσμημένην ἐν τοῖς κάτω διὰ πλατείας ᾠδῆς χρυσοκεντήτου, ὑπὲρ δὲ ταύτην ἐπίβλημα κυανοῦν κοσμούμενον διὰ χρυσῆς ᾠδῆς. Κρατεῖ δὲ διὰ τῆς ἀριστερᾶς· βάρβιτον χρυσῆν, ψαλλομένην διὰ τῆς δεξιᾶς. Φορεῖ δὲ σανδάλια πορφυρᾶ καὶ πατεῖ ἐπὶ προσκεφαλαίου ἰόχρου.

912. 47. Περγ. 4. XIII.

Τριῴδιον (ἀκέφαλον καὶ κολοβόν).

913. 48. Περγ. 4. XIII.

1. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην ἅγιον εὐαγγέλιον ἐν ἐπιτομῇ."

2. **Γρηγορίου Νύσσης** Εἰς τὸ ἅγ. Πάσχα καὶ τὴν ἁγ. Ἀνάστασιν.

3. "Περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ πολιτικοῦ."

4. "Περὶ τοῦ ἀδελφοῦ τοῦ πεσόντος καὶ νικήσαντος."

5. "'**Ἀνδρέου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας** Κυρίῳ μου ἀδελφῷ καὶ συλλειτουργῷ Περὶ τῆς Ἀποκαλύψεως τοῦ **Θεολόγου**." Καὶ ἑρμηνεία εἰς αὐτήν.

6. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας** Ἑρμηνεῖα εἰς τὸν προφήτην Ἡσαΐαν."

914. 49. Περγ. 4. XII. σελ. 2.

Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις.

Φύλλα τινὰ ἐκπεσόντα ἀντικατεστάθησαν ὑπὸ βομβυκίνων ἢ χαρτώων. Ἐν ἀρχῇ καὶ τέλει τοῦ κώδικος τρία φύλλα (Περγ. Χ) περιέχοντα μέρος Μαρτυρίου ἁγίου τινὸς ἐπὶ Γορδιανοῦ καὶ Φιλίππου.

*915. 50. Περγ. 4. XIV. (φ. 288).

1. **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ.

2. "**Τοῦ αὐτοῦ** Λόγος ἔσχατος πρὸς τὸν Ποιμένα."

3. **Τοῦ ἁγίου Μαξίμου** Ἑκατονταδες κεφαλαίων δ' μετὰ Προλόγου περὶ ἀγάπης.

Κοσμεῖται ὑπὸ ἐπιτίτλων, πρὸ δ' ἑκάστου τῶν λόγων τῆς Κλίμακος ὑπὸ μικρᾶς εἰκόνος, παριστάσης μοναχοὺς ὡς τὸ πλεῖστον ἐπὶ κλίμακος ἐν σχήματι προσευχομένων καὶ ἀναβλεπόντων εἰς οὐρανούς. Τούτων μία βεβήλως ἀποκεκομμένη. Ἐν φ. 1 β εἰκὼν παριστῶσα κλίμακα ἀπὸ βράχων ἀνερχομένην πρὸς τὸν οὐρανὸν, ὅπου ὁ Χριστὸς ἐπικλίνων ὑποδέχεται τοὺς διὰ τῆς κλίμακος ἀνερχομένους μοναχούς. Κάτω δὲ τῆς κλίμακος μεταξὺ ἄλλων ὁ τῆς βίβλου συγγραφεύς. Ἐν φ. 3 β εἰκὼν παριστῶσα Ἰωάννην τὸν Σχολαστικὸν πιθανώτατα. Ἐν φ. 11 β εἰκὼν καταλαμβάνουσα μὲν τὴν ὅλην σελίδα, παριστῶσα δὲ τὸν Ἰωάννην γράφοντα ἐν εἰληταρίῳ πρὸ τραπέζης, ἐφ' ἧς τὰ πρὸς γραφὴν ἀναγκαῖα.

*916. 51. Περγ. 4. XV.

1. Πρόλογος περὶ τοῦ ὁσίου Δωροθέου.

2. "Ἐπιστολὴ πρὸς τὸν ἀποστείλαντα ἀδελφὸν πεμφθῆναι αὐτῷ τοὺς εὑρεθέντας λόγους τοῦ ἁγίου πατρὸς ἀββᾶ Δωροθέου."

3. **Τοῦ ὁσίου Δωροθέου** Διδασκαλίαι ψυχωφελεῖς.

4. **Τοῦ αὐτοῦ** Ἐπιστολαί.

Κοσμεῖται ὑπό τινων ὀλίγων ἐπιτίτλων ἀτέχνων, ὧν ἓν ἀποκεκομμένον βεβήλως.

917. 52. Περγ. 4. XIII.

Πραξαπόστολος.

918. 53. Περγ. 4. XIV. (φ. 308).

Τετραευάγγελον

κοσμούμενον ὑπὸ τῶν εἰκόνων τῶν Εὐαγγελιστῶν, ὧν λείπει ἡ τοῦ Λουκᾶ. Ἐν ταῖς εἰκόσιν ἐπικρατεῖ τὸ ἰῶδες χρῶμα. Ἰόχρους εἶνε ἡ ἐσθὴς τοῦ Ἰωάννου καὶ ἡ ἐκκλησία, ἧς ἔμπροσθεν καθήμενοι γράφουσιν ὁ Ματθαῖος καὶ ὁ Μάρκος. Ἀρχικὰ γράμματα χρυσᾶ. Πρὸ ἑκάστου τῶν Εὐαγγελίων κομψὸν ἐπίτιτλον.

919. 54. Περγ. 4. XIII. (φ. 31).

Ἑρμηνεία εἰς τοὺς Εὐαγγελιστὰς

ἀνεπίγραφος (ἀκέφ. καὶ κολοβή). Ἕπεται ἑκάστοτε εἰς προτασσόμενον μικρὸν ἀπόσπασμα τοῦ κειμένου. Ἐστὶ δ' ἡ τάξις τῶν φύλλων συγκεχυμένη, τῆς μὲν ἀρχῆς τῆς εἰς τὸν Λουκᾶν Ἑρμηνείας εὑρισκομένης ἐν τῷ νῦν τελευταίῳ φύλλῳ τοῦ κώδικος, τῆς δὲ συνεχείας ἐν ἀρχῇ αὐτοῦ· πρὸ δὲ τῆς ἐν τῷ τέλει τοῦ κώδικος ἀρχῆς τῆς εἰς τὸν Λουκᾶν Ἑρμηνείας εὕρηνται φύλλα ἀνήκοντα εἰς τὴν τοῦ Ματθαίου. φ. 1 α. Ἀρχ. (Ἑρμ.) ...διὰ τὴν ἐπαγγελίαν τῆς γονῆς παιδευθεὶς τῇ πληγῇ τῆς σιωπῆς πιστεύειν τοῖς τοῦ ἀγγέλου ῥήμασιν. (Κείμ.) Καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε (Λουκ. ι. 24). (Ἑρμ.) Ἑδουμένη τὴν γηραιὰν καὶ ἔξωρον κυοφορίαν, ἕως οὗ καὶ ἡ παρθένος συνέλαβε. (Κείμ.) Λέγουσα ὅτι οὕτως μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις (Λουκ. ι. 25). (Ἑρμ.) Ὅτε εὐδόκησεν ἀφελεῖν τὸ ἐν ἀνθρώποις ὄνειδός μου τὸ ἐπὶ τῇ ἀτεκνίᾳ· παρ' Ἑβραίοις μὲν γὰρ ὄνειδος ἦν ἡ ἀκαρπία τοῦ σώματος οἷα σωματικωτέροις, παρὰ δὲ Χριστιανοῖς ὄνειδος ἡ ἀκαρπία τῆς ψυχῆς οἷα πνευματικωτέροις. φ. 30 α. (Κείμ.) Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων (Μαρκ. xvι. 20). (Ἑρμ.) Τὸν λόγον τοῦ κηρύγματος· εἴη δὲ καὶ τὸν λόγον τῆς ἡμετέρας διδασκαλίας βεβαιοῦσθαι διὰ τῶν ἐπακολουθεῖν ὀφειλόντων σημείων τῆς ἀρετῆς, ἵνα τέλειοι εὐρεθῶμεν ἐν τῷ τέλει τῆς ἡμετέρας ζωῆς χάριττι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀμήν. Ἕπεται δ' ἀμέσως φ. 30 α. "Ἑρμηνία τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου." Ἀρχ. Ὁ μακάριος Λουκᾶς Ἀντιοχεὺς μὲν ἦν τὸ γένος, πᾶσαν δὲ τὴν ἐν λόγοις παίδευσιν μετελθὼν

καὶ τὴν ἰατρικὴν τῶν σωμάτων ἐκμαθὼν ὕστερον καὶ τὴν ἰατρικὴν τῶν ψυχῶν κατόρθωσε. φ. 31 β. (Κείμ.) Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· μετὰ δὲ ταῦτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ (Λουκ. ι. 23). (Ἑρμ.) Χρὴ γὰρ τὸν ἱερέα παντελῶς ἀπέχεσθαι τῆς ἑαυτοῦ γυναικὸς ἐν ταῖς ἡμέραις τῆς λειτουργίας αὐτοῦ· τοῦτο γὰρ καὶ ὁ θεῖος ὑπαγορεύει θεσμός. Πληρώσας δὲ ταύτας ὁ Ζαχαρίας λοιπὸν συνῆλθε τῇ γαμετῇ αὐτοῦ.

920. 55. Περγ. 8. XII.

Πεντηκοστάριον (ἀκέφαλον καὶ κολοβόν).

***921.** 56. Περγ. 8. XIII.

Τετραευάγγελον

κοσμούμενον ὑπὸ ἀτέχνων ἱστοριῶν τῶν Εὐαγγελιστῶν καὶ τοῦ Παντοκράτορος. Προτάσσεται ἡ Ἐπιστολὴ **Εὐσεβίου** πρὸς Καρπιανὸν περὶ τῆς συμφωνίας τῶν Εὐαγγελίων, ἐν δὲ ἀψιδωτοῖς κοσμήμασιν οἱ Κανόνες τῆς συμφωνίας. Ἐν φ. 1 α—2 β καὶ ἐν τέλει τοῦ κώδικος ἐγράφησαν χειρὶ νεωτέρᾳ τὰ Συναξάρια πρὸς εὕρεσιν τῶν Εὐαγγελίων. Ἐν ἀρχῇ ἑκάστου τῶν Εὐαγγελίων ἐπίτιτλον κόσμημα καὶ ἰδιόρρυθμον ἀρχικὸν γράμμα.

Ἐν φ. 2 α ἄνωθεν τῶν Συναξαρίων φέρονται γεγραμμένα χειρὶ νεωτέρᾳ τάδε· Ἔτους ,ϛ,ζ (sic) ἰνδ. ι' ἐπαρθὲν το Ἄργος ἀπο τοὺς αγαρινους τοὺς σκοίλους τοὺς ἐχθροὺς τοῦ Χριστοῦ. Καὶ τὸ μὲν ἔτος γραπτέον πάντως ,ϛ,ϡ,ϛ' (=1399), ἀλλὰ σημειωτεόν ὅτι κατ' αὐτὸ ἰνδικτιὼν ἦν ϛ' καὶ οὐχὶ ι'. Ἀναφέρεται δὲ τὸ σημείωμα πάντως εἰς τὴν πρώτην ὑπὸ τῶν Τούρκων ἅλωσιν τοῦ Ἄργους, εἰ καὶ αὕτη κατὰ τὴν συνήθως φερομένην χρονολογίαν ἐγένετο τῷ 1397 (ἴδ. Chron. Breve ἐν Βυζαντίδι Βόννης, ὄπισθεν τοῦ Δούκα σ. 516, 21).

Ἐν τέλει τοῦ κώδικος Εὐφροσύνη μοναχὴ τοὔνομα ἡ Ηηγηνή. Ἐν δὲ τῷ τελευταίῳ παραφύλλῳ Ἐπαράλαβεν τοῦτο ὁ παπᾶ κῦρ Δωρόθεος ἔχων κομποία ἀργυρὰ ἓξ καὶ θηλίκια πέντε. Ταῦτα ἀναφέρονται εἰς τὴν παλαιὰν στάχωσιν τοῦ κώδικος, μὴ σωζομένην νῦν.

922. 57. Περγ. 8. XIII.

1 (φ. 1 α). Ἀνεπίγραφοι στίχοι πολιτικοὶ 136 περὶ τοῦ Ψαλτηρίου.

Ἀρχ.

Μετὰ τὸν μέγιστον Μωσῆν καὶ μέγαν ἐν προφήταις
[τὸν] πρώτον τὸν δημαγωγὸν τοῦ γένους τῶν Ἑβρέων
καὶ τὸν διάδοχον αὐτοῦ τὸν μέγαν στρατηγέτην
τὸν Ἰησοῦν τὸν τοῦ Ναυῆ καὶ τοὺς κριτὰς ἐκείνους
τὸν πρὶν τὸ δωδεκάφυλον εὐθύνοντας ἐν κρήσει
καὶ τὴν ἀποδοκίμασιν Σαοὺλ τῆς βασιλείας
ἤγειρεν αὖθις ὁ Θεὸς προφήτην βασιλέα
τὸν θαυμαστὸν καὶ πάνσοφον Δαυὶδ τὸν ψαλμογράφον.

Τέλ.

Οὗτος μὲν οὖν ἡρμήνευσε τὸ τοῦ Δαυὶδ βιβλίον
καὶ πέμπτη δ' ἀνονώμαστος ὣς φασι ἑρμηνία
εἰς πόλιν τὴν Ἱεριχὼ τοῖς πίθοις κεκρυμένη
παρὰ τοῦ βασιλεύοντος εὑρέθη Καρακάλου.

2 (φ. 3 β). "Ἐρώτησις τί ἐστὶ Ψαλτήριον. Ἀπόκρησης."

Ἀρχ.

Ἃ γλῶσσα λόγω τε κοινῷ καὶ καθημαξευμένῳ
ὄργανον τὸ Ψαλτήριον δεκάχορδον σημαίνει.

Τέλ.

Τοῦτο σημένει προφανὼς ὡς ἀναστήναι μέλλει
πὰς οὐκ εἰς κρίσιν ἀληθῶς, ἀλλὰ πρὸς κατακρησεις.

3 (φ. 4 α). "**Κοσμᾶ Ἰνδικοπλεύστου** Εἰς τὸν προφήτην Δαυὶδ καὶ εἰς τὸν Ψαλμόν."

Ἀρχ. Μετὰ τὸν Μωσέα καὶ τὸν τούτου διάδωχον τὸν Ἠησοῦν τοῦ Ναυὶ καὶ μετὰ τοὺς γενομένους κρητὰς ἐν τῷ Ἰσραήλ.

4 (φ. 5 α). Ψαλτήριον.

923. 58. Χαρτ. 8. XVI.

1. **Θεοδώρου τοῦ Στουδίτου** "Ἐγκώμιον εἰς τὸ γενέθλιον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου."

2. **Ἀνδρέου Κρήτης** Εἰς τὴν γέννησιν τῆς Θεοτόκου.

3. **Ἰωάννου τοῦ Δαμασκηνοῦ** "Εἰς τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου."

4. **Ἀνδρέου Κρήτης** "Εἰς τὴν πάνσεπτον γέννησιν τῆς παναγίας καὶ ὑπεραμώμου δεσποίνης ἡμῶν Θεοτόκου."

5. "**Ἰακώβου** ἀποστόλου **τοῦ ἀδελφοθέου** Λόγος εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ δέσποινα ἡμῶν."

6. **Ἀνδρέου Κρήτης** Εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ.

7. **Τοῦ αὐτοῦ** Λόγος ἄλλος εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ.

8. **Ἰωσὴφ Θεσσαλονίκης** Εἰς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρόν.

9. "**Παντολέοντος διακόνου** Λόγος εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ."

10. Περὶ τῆς ἀναζητήσεως καὶ εὑρέσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

11. **Ἀλεξάνδρου μοναχοῦ** Εἰς τὴν εὕρεσιν καὶ ὕψωσιν τοῦ Σταυροῦ.

12. **Θεοδώρου τοῦ Στουδίτου** Ἐγκώμιον εἰς Ἰωάννην τὸν εὐαγγελιστήν.

13. "**Ἰωάννου** χαρτοφύλακος Θεσσαλονίκης **τοῦ Σταυρακίου** Λόγος εἰς τὰ θαύματα τοῦ μυρορρόα μεγάλου Δημητρίου."

14. "**Γεωργίου** ἐπισκόπου **Νικομηδίας** Εἰς τὴν ὑπεραγίαν Θεοτόκον καὶ δέσποιναν, ὅτε προσηνέχθη ἐν τῷ ναῷ ὡς τριετίζουσα ὑπὸ τῶν γονέων αὐτῆς."

15. **Τοῦ αὐτοῦ** Εἰς τὰ εἰσόδια τῆς Θεοτόκου.

16. **Τοῦ αὐτοῦ** Λόγος ἄλλος εἰς τὴν Θεοτόκον ὅτε προσηνέχθη ἐν τῷ ναῷ.

17. **Ταρασίου Κωνσταντινουπόλεως** Εἰς τὰ εἰσόδια τῆς Θεοτόκου.

18. **Θεοφυλάκτου Βουλγαρίας** Εἰς τὰ εἰσόδια τῆς Θεοτόκου.

19. **Γρηγορίου Νύσσης** Εἰς τὴν Ὑπαπαντὴν καὶ τὸν Συμεῶνα.

20. **Ἀθανασίου Ἀλεξανδρείας** Εἰς *τὴν Ὑπαπαντὴν καὶ τὸν Συμεῶνα.*

21. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς *τὴν Ὑπαπαντὴν καὶ τὸν Συμεῶνα.*

22. **Ἀμφιλοχίου Ἰκονίου** Εἰς *τὸν βίον καὶ τὰ θαύματα Βασιλείου τοῦ μεγάλου.*

23. **Ἀνδρέου Κρήτης** Εἰς *τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου.*

24. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς *τὴν Ἀνάληψιν.*

25. **Τοῦ αὐτοῦ** Λόγος ἕτερος εἰς *τὴν Ἀνάληψιν.*

26. **Τοῦ αὐτοῦ** Εἰς *τὴν ἡμέραν τῆς Πεντηκοστῆς.*

27. **Τοῦ αὐτοῦ** Εἰς *τὴν Πεντηκοστὴν λόγοι τρεῖς.*

28. **Λεοντίου πρεσβυτέρου Κωνσταντινουπόλεως** Εἰς *τὴν Πεντηκοστήν.*

29. **Ἀντιπάτρου Βόστρων** Εἰς *τὸ γενέσιον τοῦ Προδρόμου καὶ εἰς τὴν σιγὴν Ζαχαρίου καὶ εἰς τὸν ἀσπασμὸν τῆς Θεοτόκου.*

30. **Αετίου πρεσβυτέρου Κωνσταντινουπόλεως** Εἰς *τὸ γενέσιον τοῦ Προδρόμου.*

31. **Σωφρονίου Ἱεροσολύμων** Ἐγκώμιον *εἰς τὸν Πρόδρομον.*

32. **Τιμοθέου πρεσβυτέρου Ἀντιοχείας** Εἰς *τὴν Μεταμόρφωσιν.*

33. **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Εἰς *τὴν Μεταμόρφωσιν.*

34. **Ἀνδρέου Κρήτης** Εἰς *τὴν Μεταμόρφωσιν.*

35. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς *τὴν Μεταμόρφωσιν.*

36. **Ἀναστασίου μοναχοῦ τοῦ Σινᾶ** Εἰς *τὴν Μεταμόρφωσιν.*

37. **Τοῦ μακαρίου Ἐφραὶμ** Εἰς *τὴν Μεταμόρφωσιν.*

38. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς *τὴν Μεταμόρφωσιν.*

39. **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Εἰς *τὴν κοίμησιν τῆς Θεοτόκου λόγοι τρεῖς.*

40. **Ἀνδρέου Κρήτης** Εἰς *τὴν Κοίμησιν λόγοι δύο.*

41. **Θεοδώρου τοῦ Στουδίτου** Εἰς *τὴν ἀποτομὴν τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.*

42. **Ἀνδρέου Κρήτης** Εἰς *τὴν αὐτήν.*

43. **Χρυσίππου πρεσβυτέρου καὶ μαθητοῦ τοῦ Εὐθυμίου** Ἐγκώμιον *εἰς Ἰωάννην τὸν βαπτιστήν.*

Οἱ ὑπ' ἀρ. 23—26 λόγοι εἰσὶ γεγραμμένοι κατὰ δύο σελίδας.

924. 59. *Χαρτ.* 4. XVII. *(σ. ιη' καὶ 650).*

1 (σ. α—ιη'). "Προοίμιον *τῆς* **Ἐξηγήσεως τοῦ Ψαλτηρίου, εἴτ' οὖν τῶν Ψαλμῶν, τοῦ ὑπερτίμου τῶν φιλοσόφων κυρίου Εὐθυμίου τοῦ Ζυγαδηνου (ἐν τῇ ᾧᾳ μοναχοῦ ἱσ. Ζυγαβηνοῦ) καὶ Ἐγκώμιον** *εἰς τὸν προφήτην Δαυίδ.*"

2 (σ. 1). "**Ἐξηγήσεις Εὐθυμίου τοῦ Ζυγαδηνοῦ** *εἰς τὸν Ψαλτῆρα.*"

3 (σ. 613). **Τοῦ αὐτοῦ Ἐξηγήσεις** *εἰς Ὠδάς.*

σ. 613. "Ὠδὴ Μωϋσέως *ἐν τῇ ἐξόδῳ.*"—*σ. 616* "Ὠδὴ Β' Μωϋσέως *ἐν τῷ Δευτερονομίῳ.*"—*σ. 626* "Ὠδὴ Γ'. Προσευχὴ Ἄννης *τῆς μητρὸς Σαμουὴλ ἐν τῇ α' τῶν Βασιλειῶν βίβλῳ.*"—*σ. 629* "Ὠδὴ Δ'. Ἀμβακοὺμ *τοῦ προφήτου· κεῖται δὲ ἐν τῇ βίβλῳ τῆς προφητείας αὐτοῦ.*"—*σ. 635* "Ὠδὴ Ε'. Προσευχὴ Ἡσαΐου *τοῦ προφήτου, ληφθεῖσα ἐκ τῆς βίβλου τῆς προφητείας αὐτοῦ.*"—*σ. 640* "Ὠδὴ ϛ'. Προσευχὴ Ἰωνᾶ *τοῦ προφήτου ἐκ τῆς βίβλου αὐτοῦ.*"—*σ. 642* "Ὠδὴ Ζ'. Προσευχὴ Ἀζαρίου *ἐκ τῆς βίβλου Δανιὴλ τοῦ προφήτου.*"—*σ. 645* "Ὠδὴ *τῶν ἁγίων τριῶν παίδων.* Ὠδὴ Η'."—*σ. 646* "Ὠδὴ *τῆς Θεοτόκου ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ.* Ὠδὴ Θ'."—*σ. 648* "Προφητεία Ζαχαρίου *τοῦ πατρὸς τοῦ Προδρόμου ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ.*"

Αἱ λέξεις Ὠδὴ Β', Ὠδὴ Γ' κτλ. φέρονται γεγραμμέναι ἐν τῇ ᾧᾳ ἐρυθραί.

925. 60. *Χαρτ.* 4. XVII. *σελ.* 2 *(σ. 212).*

1 (σ. 1). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Εἰς *τὸ γενέθλιον τῆς Θεοτόκου.*

2 (σ. 13). **Ἐπιφανίου Κύπρου** Ἐγκώμιον *εἰς τὴν Θεοτόκον.*

3 (σ. 25). **Κυρίλλου Ἀλεξανδρείας** Εἰς *τὴν Θεοτόκον.*

4 (σ. 32). **Πρόκλου Κωνσταντινουπόλεως** Εἰς *τὴν Θεοτόκον.*

5 (σ. 38). **Γεωργίου Νικομηδείας** Εἰς *τὰ Εἰσόδια λόγοι δύο.*

6 (σ. 64). **Γερμανοῦ Κωνσταντινουπόλεως** Εἰς *τὰ Εἰσόδια.*

7 (σ. 71). **Ἀθανασίου Ἀλεξανδρείας** Εἰς *τὴν Θεοτόκον.*

8 (σ. 81). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** *εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου.*

9 (σ. 93). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς *τὸν Εὐαγγελισμὸν λόγοι τρεῖς.*

10 (σ. 116). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Εἰς *τὴν κοίμησιν τῆς Θεοτόκου λόγοι δύο.*

11 (σ. 142). **Ἐπιφανίου Κύπρου** Εἰς *τὴν Κυριακὴν τῶν Βαΐων.*

12 (σ. 149). **Ἐπιφανίου Κωνσταντίας** Εἰς *τὴν ταφὴν τοῦ Χριστοῦ.*

13 (σ. 167). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς *τὴν γέννησιν τῆς Θεοτόκου λόγοι δύο.*

14 (σ. 193). **Τοῦ αὐτοῦ** Εἰς *τὰ Θεοφάνεια λόγοι δύο.*

15 (σ. 205). "Λόγος ἐγκωμιαστικὸς *εἰς τὸν μέγαν Νικόλαον.*"

Ὁ λόγος οὗτος οὐκ ἔστι γεγραμμένος κατὰ δύο σελίδας ὡς οἱ λοιποί, γέγραπται δὲ χειρὶ τοῦ XIX. αἰῶν.—*Ἐν τέλει αὐτοῦ Ποίημα Γ[ε]ανοχωρίτου Ματθαίου ,αωιη' (=1818).*

926. 61. *Χαρτ.* 4. XVI.

Βίοι καὶ *μαρτύρια ἁγίων Ὀκτωβρίου.*

927. 62. Χαρτ. 4. XIV. XV. (φ. 317).

1 (φ. 1 α). [**Ματθαίου κοιαίστωρος 'Αγγέλου τοῦ Παναρέτου**]

"Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ἥτις ἀποκατέστησε Φώτιον τὸν ἁγιώτατον πατριάρχην εἰς τὸν θρόνον Κωνσταντινουπόλεως καὶ διέλυσε καὶ τὰ σκάνδαλα τῶν δύο ἐκκλησιῶν τῆς τε παλαιᾶς καὶ νέας Ῥώμης. Ἀπὸ τοῦ λόγου τοῦ **Βέκκου.**"

2 (φ. 30 β). "Τοῦ ἁγιωτάτου καὶ μακαρίου πατρὸς ἡμῶν **Νείλου ἀρχιεπισκόπου Θεσσαλονίκης**

Λόγος ἀποδεικνὺς μὴ ἄλλο τι τὸ τῆς διαστάσεως τῆς Λατίνων ἐκκλησίας καὶ ἡμῶν μέχρι τοῦ παρόντος αἴτιον εἶναι ἢ τὸ μὴ βούλεσθαι τὸν πάπαν οἰκουμενικῇ συνόδῳ τὴν τοῦ ἀμφισβητουμένου διάγνωσιν ἐπιτρέψαι."

Ἔπονται α' (φ. 39 α) **Τοῦ αὐτοῦ** Βιβλίον β' "Περὶ τῆς τοῦ **πάπα** ἀρχῆς."—β' (φ. 43 β) "Ἀπὸ τῆς ἑξκαιδεκάτης πράξεως τῶν Πρακτικῶν τῆς οἰκουμενικῆς συνόδου."—γ' (φ. 43 β) "Ἀπὸ τοῦ προσφωνητικοῦ λόγου τῆς ἁγίας συνόδου πρὸς τὸν βασιλέα."—δ' (φ. 45 α) "Ἀπὸ τοῦ τέλους τῶν Πρακτικῶν τῆς ἕκτης συνόδου ἀπὸ τῆς ἐπισκοπῆς Λέοντος."—ϛ' "Ἀπὸ τῶν Πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου."

3 (φ. 58 α). "Τοῦ αὐτοῦ ἁγιωτάτου Θεσσαλονικέως

Ἀπάντησις σαφὴς τε καὶ σύντομος πρὸς Λατίνους ὥσπερ ἐγχειρίδιόν τι προκείμενον τοῖς βουλομένοις ἀγωνίζεσθαι πρὸς ἐκείνους."

4 (φ. 66 α). [**Ματθαίου κοιαίστωρος 'Αγγέλου τοῦ Παναρέτου**]

"Ἀνασκευὴ περὶ ὧν διατείνονται οἱ Λατῖνοι ὡς δῆθεν ὁ πάπας ἔχει τὴν ἀρχὴν πάσης ἐκκλησίας, λαβὼν αὐτὴν κατὰ διαδοχὴν ἀπὸ τοῦ μακαρίου Πέτρου."

5 (φ. 82 α). "Λόγος δ' **τοῦ αὐτοῦ**

κατὰ τῆς ἀθέου καὶ πνευματομάχου εὐσεβείας τῶν θεομάχων Λατίνων."

Κεφ. ϛ'.—ἐν τῷ α' (φ. 84 β) "**Τοῦ ἁγίου Διονυσίου [τοῦ 'Αρεοπαγίτου]** Ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς."—β' (φ. 84 β) "Εἰς τὸ δεύτερον τὸ Ἐξ αὐτοῦ λαμβάνειν τὸ πνεῦμα ὡς τὸ ἐκ τοῦ 'Εκλήψεται καὶ ἀναγγελεῖ ὑμῖν."—γ' (φ. 85 α) "Εἰς τὸ τρίτον τὸ Δι' ἐκφυσήματος δοθῆναι."—δ' (φ. 86 β) "Τέταρτον. Τὸ πνεῦμα τοῦ υἱοῦ λέγεται."—ε' (φ. 87 β) "Πέμπτον. Τὸ τὸν υἱὸν καὶ τὸν πατέρα ἓν εἶναι, ὡς τὸ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν."—ϛ' (φ. 87 β) "Ἕκτον. Τὸ πάντα τὰ τοῦ πατρὸς εἶναι καὶ τοῦ υἱοῦ, ὡς τὸ πάντα τὰ σὰ ἐμά ἐστιν."

6 (φ. 88 α). "**Τοῦ αὐτοῦ** Ἀπόδειξις εἰς ὅσα πίπτουσιν οἱ Λατῖνοι τὰ ἄτοπα λέγοντες τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι."

7 (φ. 89 β). "**Τοῦ αὐτοῦ** Περὶ τῶν ἄλλων ἀτοπημάτων τῶν κακοδόξων Λατίνων."

8 (φ. 95 α). "Πίναξ ἄριστος τῆς παρούσης πυκτίδος."

9 (φ. 100 α). "Γραφὴ **Λέοντος μητροπολίτου 'Ρωσίας**

γραφεῖσα πρὸς Ῥωμαίους ἤτοι Λατίνους περὶ ἀζύμων καὶ ἑτέρων τινῶν."

10 (φ. 105 α). "Τοῦ μακαριωτάτου κῦρ **Μιχαὴλ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Κηρουλαρίου**

πρὸς Πέτρον τὸν ἁγιώτατον πατριάρχην Θεουπόλεως μεγάλης 'Αντιοχείας."

11 (φ. 109 α). **'Ιωάννου τοῦ Δαμασκηνοῦ Κεφάλαια φιλοσοφικά.**

Προτάσσεται τὸ προοίμιον "Τῷ ὁσιωτάτῳ καὶ θεοτιμήτῳ Κοσμᾶ, ἁγιωτάτῳ ἐπισκόπῳ Μαϊουμᾶ **'Ιωάννης μοναχός.**"

12 (φ. 143 α). "Τοῦ **ἁγίου Κυρίλλου 'Ορισμοὶ τῆς φιλοσοφίας εἰσὶν ἓξ.**"

Οὗτοι φέρονται παρὰ τῷ Migne XCIV. 669 κ. ἑ. ἐν τοῖς κεφαλαίοις αὐτοῦ τοῦ **'Ιωάννου τοῦ Δαμασκηνοῦ.**

13 (φ. 144 α). "Περὶ διαλεκτικῆς μεθόδου ὅτι διαλεκτικαὶ μέθοδοι τέσσαρες."

14 (φ. 144 β). "Ἔτι περὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως."

Τὰ ὑπ' ἀρ. 13 καὶ 14 φέρονται παρὰ τῷ Migne ἔνθ' ἀν. σ. 665 κ. ἑ. ἐν τοῖς τοῦ **Δαμασκηνοῦ** κεφαλαίοις. Ἴδ. καὶ κώδ. ἀρ....782 (80).

15 (φ. 145 α). Κεφάλαια διάφορα **ἐκ τῶν 'Ιωάννου τοῦ Δαμασκηνοῦ** (;).

φ. 145 α "Περὶ στοιχείου."—φ. 146 β "Περὶ πρηστῆρος."—φ. 147 α "Περὶ χιόνος," "Περὶ πάχνης" καὶ "Περὶ χαλάζης."—φ. 147 β "Περὶ κεραυνοῦ."—φ. 148 α "Περὶ σεισμοῦ."—φ. 148 β "Περὶ **δογματικῆς φωνῆς.**"—φ. 149 α "Περὶ ἀρετῶν καὶ κακιῶν."—φ. 149 β "Περὶ φρονήσεως."—φ. 150 α "Περὶ σωφροσύνης."—φ. 151 α "Περὶ φιλοτιμίας."

Ἐν τέλει Καὶ τὰ μὲν περὶ πασῶν τῶν ἠθικῶν ἀρετῶν τέλος ἔχει. Ἡμῖν δὲ δοίη κύριος ὁ Θεὸς διά τε πράξεως καὶ θεωρίας πρὸς αὐτὸν ἀναβῆναι καὶ τῆς βασιλείας αὐτοῦ ἀξιωθῆναι, εὐχαῖς τῶν ὁλοκλήρως αὐτῷ εὐαρεστησάντων ἁγίων. Ἀμήν.

16 (φ. 153 α). "Τοῦ φιλοσόφου κυροῦ **Θεοδώρου τοῦ Προδρόμου** Στίχοι περὶ τῆς ἁγίας καὶ προσκυνητῆς Τριάδος."

Κατ' ἀλφάβητον, ἐξ οὗ λείπει τὸ Ω. Εἰσὶ δὲ γεγραμμένοι κατὰ δύο σελίδας. Ἄρχ.

Ἄναρχον ἀρχὴ παντὸς αἰτία, Θεὸς
Βασίλειον βέβαιον ἐν ταυτῷ μένον. Τέλ.
Ψαυστὸν λογισμοῖς ἀλλ' ἀμυδρῶς καὶ μόνον.

17 (φ. 153 β). "Τοῦ ὁσίου πατρὸς ἡμῶν **'Ιωάννου τοῦ Δαμασκηνοῦ** Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως."

18 (φ. 264 α). "Ἔκθεσις τῆς ὀρθοδόξου τῆς τε ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος.

Καὶ περὶ τῆς θείας ἐνσάρκου οἰκονομίας. Καὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, τοῦ τιμίου Σταυροῦ, τῆς προσκυνήσεως τῶν ἁγίων λειψάνων. Καὶ περὶ τῶν ἁγίων ἑπτὰ οἰκουμενικῶν συνόδων, καὶ πάσης ἐκκλησιαστικῆς παραδόσεως. Καὶ ὀφείλει πᾶσα ψυχὴ πιστὴ κρατεῖν καὶ ὁμολογεῖν ἄχρις ἐσχάτης ἀναπνοῆς."

19 (φ. 266 β). "Περὶ Μονοθελητῶν."

20 (φ. 266 β). "Περὶ τῶν 'Αγαρηνῶν, οἳ καὶ 'Ισμαηλῖται λέγονται."

21 (φ. 268 β). "Ἔκθεσις κατ' ἐπιτομὴν τοῦ τῶν 'Ιακωβιτῶν δόγματος καὶ τῶν ἄλλων ὧν ποιοῦσι

παρὰ τὴν ἐκκλησιαστικὴν καὶ ὀρθόδοξον πίστιν καὶ παράδοσιν, συγγραφεῖσα παρὰ **Δημητρίου μητροπολίτου Κυζίκου,** ἐκ προτροπῆς τοῦ φιλοχρίστου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου υἱοῦ Λέοντος τοῦ Σοφοῦ, ἐν ᾗ καὶ περὶ τῶν Χατζιτζαρίων."

22 (φ. 271 β). "Λύσις τοῦ ἁγίου **Μαξίμου** *ἐρωτηθέντος περὶ ἀποκαταστάσεως.*"

23 (φ. 272 α). *Ἀνεπίγραφον Περὶ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων.*

24 (φ. 278 α). "Τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ **πατριάρχου κυροῦ Καλλίστου** *Ὁμιλία*

ῥηθεῖσα κατὰ τοῦ ἀσεβοῦς Γρηγορᾶ, πῶς τῇ ἐκκλησίᾳ προστρίβει τὸ τῆς εἰκονο...αἶσχος καὶ βλασφημεῖ κατὰ τοῦ θείου φωτός."

25 (φ. 283 α). "**Τοῦ αὐτοῦ** *Ὁμιλία κατὰ τοῦ δυσσεβοῦς Γρηγορᾶ καὶ τῶν αὐτοῦ ὀπαδῶν.*"

26 (φ. 286 β). "**Τοῦ αὐτοῦ** *Ὁμιλία πρώτη κατὰ Λατίνων εἰς στήριγμα τῆς ὀρθοδόξου πίστεως.*"

27 (φ. 289 α). "**Τοῦ αὐτοῦ** *Ὁμιλία δευτέρα κατὰ Λατίνων.*"

28 (φ. 291 β). "**Τοῦ αὐτοῦ** *Ὁμιλία τρίτη κατὰ Λατίνων.*"

29 (φ. 295 α). *Ἀνεπίγραφος ἐπιστολὴ πρὸς Κυπρίους.*

Ἄρχ. Οἱ ἐν τῇ περιφανεστάτῃ καὶ περιδόξῳ νήσῳ τῇ Κύπρῳ εὑρισκόμενοι καὶ οἰκοῦντες ἱερωμένοι ἄρχοντες καὶ ὁ λοιπὸς ἅπας τοῦ Κυρίου λαός, ἐν Κυρίῳ ἀγαπητὰ τέκνα τῆς ἡμῶν μετριότητος. Τέλ. πρόδηλος γάρ ἐστιν ἀθετητὴς τῶν ὑγιῶν τῆς ἐκκλησίας δογμάτων. Ἡ χάρις τοῦ Θεοῦ διαφυλάξαι ὑμᾶς ἅπαντας καὶ ψυχῇ καὶ σώματι καὶ ἀνωτέρους παντὸς ἀνιαροῦ συναντήματος.

Ἡ ἐπιστολὴ αὕτη γέγραπται κατὰ τοῦ Βαρλαὰμ καὶ τῶν λατινοφρονούντων.

30 (φ. 298 α). "*Ἀπόδειξις σαφὴς περὶ τῶν ἐνζύμων καὶ ὅτι οὐ χρὴ κοινωνεῖν τοῖς ἀζύμοις.*"

31 (φ. 304 α). "**Φωτίου** *τοῦ ἁγιωτάτου* **πατριάρχου Κωνσταντινουπόλεως** *Συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς συνειλεγμέναι ἔκ τε συνοδικῶν καὶ ἱστορικῶν γραφῶν περὶ ἐπισκόπων καὶ μητροπολιτῶν καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ἐκκλησιαστικῶν ζητημάτων.*"

Ἄρχ. Ἐν ποίοις φαίνονται πεπραχότες οἱ Ῥωμαίων παραλόγως. Ἐπὶ Κωνσταντίνου Λιβέριος ὁ Ῥωμαίων μετὰ τὴν τῆς ὑπερορίας ἐπάνοδον. Τέλ. **Τοῦ αὐτοῦ** *Περὶ πίστεως ὁμολογία ἐπιστολὴ ρκ'.*

Ἐν μέσοις τούτοις τοῖς τοῦ Φωτίου ἄρχεται ἐν τῷ κώδικι γραφὴ ἑτέρας χειρός (XV. αἰῶν.).

32 (φ. 309 α). "*Μηνὶ Φευρουαρίῳ ἰνδικτ. ζ' ἔτους ,ϛχιζ' Περὶ μετὰθέσεως.*"

Ἄρχ. Ὁ μέγας πατὴρ καὶ φωστὴρ τῆς οἰκουμένης ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος, ἐπίσκοπος γενόμενος Σασίμων, ἐγένετο καὶ Ναζιανζοῦ, εἶτα ἐν τῇ δευτέρᾳ συνόδῳ τῶν ρν' πατέρων. Τέλ. Ὅπως δὲ καλοῦνται οἱ τόκοι οἱ ἑκατοστιαῖοι τῆς λύτρας καὶ συμποσουμένης εἰς νομίσματα ἑκατὸν ἀλλ' εἰς οβ' οὐ τοῦ παρόντος λέγειν καιροῦ.

33 (φ. 313 β). "Τοῦ σοφωτάτου κυροῦ **Μιχαὴλ τοῦ Ψελλοῦ** *Ἐρωτοαποκρίσεις.*"

Ἄρχ. Ὁποίαν ὀφείλομεν ἔχειν διδασκαλίαν ἐκ τῶν νυνὶ ῥηθησομένων δεκτήν. Τέλ. Ὅτι κατὰ τὴν κε' Μαρτίου μηνὸς, καθ' ἣν ὁ εὐαγγελισμὸς τοῦ Γαβριὴλ ἐγένετο, ἑβδόμη ἐτύγχανεν, ὅ ἐστι Σάββατον.

34 (φ. 315 β). "*Ἀπὸ τῆς ἐπιστολῆς ἣν ἔγραψαν οἱ Κωνσταντινουπολῖται πρὸς τὸν πάπαν Ἰνοκέντιον, μετὰ τὴν ἅλωσιν.*"

Ἄρχ. Εὐχερῶς εἴχομεν δέσποτα καὶ αὐτοὶ ἀπάραι τῆς διοικήσεως. Τέλ. Ὀφείλουσα γίνεσθαι παρ' ἡμῶν μετὰ τὴν τελευταίαν εὐχὴν τῶν συνάξεων.

Ὁ ὅλος κῶδιξ ἐστι τιλφόβρωτος περὶ τὰ ἄκρα.

928. 63. Χαρτ. 4. XVI.

1. *Τετράστιχα ἰαμβικὰ ἐπιγράμματα (ἀκέφ.)*

εἰς τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην ἀναφερόμενα.

2. "*Συναξάριον σὺν Θεῷ τῆς συνόψεως τῶν ἁγίων*

τοῦ ὅλου χρόνου, ὅθεν τὲ ἕκαστος καὶ ἐκ τίνων ἔφυ καὶ ἐν οἷς χρόνοις καὶ εἴτε τὸν διὰ μαρτυρίου εἴτε τὸν δι' ἀσκήσεως ἐδέξατο στέφανον." *Σεπτ.—Φεβρ. (κολοβ.).*

929. 64. Χαρτ. 4. XV.

"*Συναξάριον σὺν Θεῷ ἁγίῳ τῆς συνόψεως τῶν ἁγίων*

τοῦ ὅλου χρόνου κτλ. ὡς ἐν τῷ ὑπ' ἀρ. 928 (63) Σεπτ.—Φεβρ.—Ἐν τέλει Ἐτελειώθη τὸ παρὸν Συναξάριον ἐν μηνὶ Μαρτίου ἐν ἔτει ,ϛ̅ϡμβ' (=1434) καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαί μοι τοῦ Γεωργίου καὶ γράψειν ἤθελα ἀκροστιχίδα ἐδικήν μου ἀμὲ χαρτὶν οὐκ ἔχω."

930. 65. Χαρτ. 4. XVIII.

"Τοῦ **ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας** *Ἑρμηνία εἰς τὸν προφήτην Ἡσαΐαν.*"

Ὁ κῶδιξ ἐστι τιλφόβρωτος περὶ τὰ ἄκρα.

931. 66. Χαρτ. 4. XIV.

Εὐθυμίου τοῦ Ζυγαβηνοῦ *Ἐξήγησις τοῦ Ψαλτηρίου.*

Ἴδ. καὶ κώδ. ἀρ. 924 (59).

932. 67. Χαρτ. 4. XV.

"**Ἰωάννου τοῦ Καντακουζηνοῦ** *Κατὰ τῆς τῶν Σαρακηνῶν αἱρέσεως καὶ Ἀπολογίαι ὑπὲρ τῆς χριστιανικῆς πίστεως, ὡς καὶ λόγοι κατὰ Μωάμεθ.*"

Ἄρχ. Ἡ τοῦ βιβλίου ὑπόθεσις τοιάδε τίς ἐστιν. Ἀχαιμενίδης τις, εἰς ἄνδρας ἐλαύνων ἤδη, τὴν τύχην οὐκ ἀγεννὴς...ἐνόμιζε μέγαν τινὰ τὸν Μωάμεθ εἶνε καὶ τὸν νόμον αὐτοῦ.

933. 68. Χαρτ. 4. XVI.

1. "*Ἐκκλησιαστικὸς διάλογος ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν.* **Τοῦ ταπεινοῦ Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης** *Διάλογος*

ἐν Χριστῷ κατὰ πασῶν τῶν αἱρέσεων καὶ περὶ τῆς μόνης πίστεως τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῶν ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς ἐκκλησίας οὐδὲν αὐτοῦ ἴδιον κεκτημένος ἀλλ' ἐκ τῶν ἁγίων γραφῶν καὶ τῶν πατέρων ἐρανισθεὶς αὐτῷ καὶ συντεθεὶς κατὰ δύναμιν, ἀπολογίας διδοὺς ἑκάστῳ τῷ κατὰ καιροὺς ἠρωτηκότι."

2. "**Τοῦ αὐτοῦ** *Ἑρμηνεία περί τε τοῦ θείου ναοῦ*

καὶ τῶν ἐν αὐτῷ, ἱερέων τε πέρι καὶ διακόνων, ἀρχιερέων τε καὶ τῶν ἃν ἕκαστος τούτων στολῶν ἱερῶν περιβάλλεται· οὐ μὴν

ἀλλὰ καὶ περὶ τῆς θείας μυσταγωγίας, λόγον ἑκάστῳ διδοῦσα τῶν ἐν αὐτῇ τελουμένων θείως, καὶ τοῖς ἐν Κρήτῃ εὐσεβέσι ζητήσασιν ἀποσταλεῖσα."

3. [**Τοῦ αὐτοῦ**] "**Ἑρμηνεία συνοπτικὴ**

κατὰ δύναμιν εἰς τὸ τῆς ὀρθοδόξου καὶ ἀμωμήτου πίστεως τῶν **Χριστιανῶν** *θεῖον καὶ ἱερὸν σύμβολον.*"

4. "**Ἔκθεσις τοῦ αὐτοῦ** ἀναγκαιοτάτη

Περὶ τῶν τοῦ ἱεροῦ συμβόλου ῥήσεων, ὅθεν συνελέγησαν καὶ κατὰ τίνων αὗται ἐγκείμεναί εἰσιν."

5. "**Περιεκτικὰ** ὡς δυνατὸν τῆς μόνης τῶν Χριστιανῶν πίστεως κεφάλαια δώδεκα,

ἅπερ τινὲς ἄρθρα καλοῦσι τῆς πίστεως, σαφέστερον συντεθέντα παρὰ τοῦ ταπεινοῦ **ἀρχιεπισκόπου Θεσσαλονίκης Συμεών**, *καὶ ὅτι ταῦτα περιέχει τὸ θεῖον σύμβολον, καὶ περὶ τῶν περιεκτικῶν ἀρετῶν.*"

6. "**Τοῦ αὐτοῦ** Ἀποκρίσεις πρός τινας ἐρωτήσεις ἀρχιερέως ἠρωτηκότος αὐτόν."

7. "**Τοῦ αὐτοῦ** Περὶ ἱερωσύνης

πρός τινα τῶν εὐλαβῶν μοναχῶν ἱερᾶς διακονίας ἠξιωμένον. Ἔτι καὶ τοῦ ἀρχιερέως εἰς τὸν τοῦ πρεσβυτέρου τελοῦντος τότε βαθμόν."

8. Πίναξ τῶν περιεχομένων (XIX. αἰών.).

934. 69. Χαρτ. 4. XIX.

"**Χριστοφόρου μοναχοῦ** ἐκ τῆς σκήτεως τοῦ τιμίου Προδρόμου Λόγος ἐγκωμιαστικὸς εἰς τὴν σύλληψιν τῆς θεομήτορος Ἄννης."

Ἐν τῇ καθωμιλημένῃ.

935. 70. Βομβ. 4. μικρ. XIV.

1 (φ. 1 α). Κανόνες ὁμοφωνίας τῶν Εὐαγγελίων (ἀκέφ.).

2 (φ. 8 α). **Θεοφυλάκτου Βουλγαρίας** "Ἐπιτομὴ τῶν τοῦ **Χρυσοστόμου** ἐξηγητικῶν. Προοίμιον εἰς τὸ ἅγιον Εὐαγγέλιον."

3 (φ. 13 α). Τετραευάγγελον.

4. **Συναξάριον τῶν μηνῶν.**

936. 71. Χαρτ. 8. XVIII. (σ. 770).

"Βιβλίον καλούμενον Ἀνθολογία ἱερὰ

μεταφρασθεῖσα εἰς τὸ ἁπλοῦν εἰς ὠφέλειαν τῶν ἀναγινωσκόντων...ᾳψπδ' Μαρτίῳ δ' ἡμέρᾳ Δευτέρᾳ ἐν τῷ ἁγιονύμῳ ὄρει τοῦ Ἄθωνος."

Φέρει καὶ τὴν ἐπιγραφὴν "Ἐκλογὴ *εἰς διαφόρους ὑποθέσεις ἐκ τῶν ῥητῶν τῆς* **Ἁγίας Γραφῆς** *καὶ ἄλλων θείων* **πατέρων** *μεταφρασθέντων εἰς ἁπλῆν φράσιν.*"

Ἐν τέλει ᾳψπδ (=1784) Μαΐῳ λ' *ἡμέρᾳ Παρασκευῇ, ἐγράφη ἐν τῇ σκήτῃ τοῦ ἁγίου Δημητρίου.*

937. 72. Χαρτ. 8. XVI.

1. "**Ἰωάννου τοῦ Χαλκηδῶν** (*sic*) Ὁμιλίαι ἑκάστης Κυριακῆς τοῦ ὅλου ἐνιαυτοῦ."

2. "Ἑρμηνεία τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου **Βουλγαρίας Θεοφυλάκτου** εἰς τὰ ἑωθινὰ εὐαγγέλια."

938. 73. Χαρτ. 8. XIV. (σ. 66).

1.

"Ἐπιστολὴ μονάσαντος ἁμαρτωλοῦ καὶ ξένου πρὸς μοναχόν γε Φίλιππον τὸ γένος Χαρσενίτην."

2. **Φιλίππου μοναχοῦ** Διόπτρα πρὸς Καλλίνικον

ἐν στίχοις πολιτικοῖς (σελ. 2). Ὁ κῶδιξ κολοβὸς, λειπόντων ὀλίγων στίχων.

Ἐν τέλει τὸ ἑξῆς ἔντυπον βιβλίον·

"Πέτρα σκανδάλου ἤτοι διασάφησις τῶν πέντε διαφορῶν τῆς ἀρχῆς καὶ αἰτίας οὔσης τοῦ σχίσματος τῶν δύο ἐκκλησιῶν Ἀνατολικῆς τε καὶ Δυτικῆς, συντεθεῖσα μὲν καὶ ἐκδοθεῖσα ὑπὸ τοῦ ποτὲ θεοφιλεστάτου Κερνίκης καὶ Καλαβρίτων ἐν Πελοποννήσῳ ἐπισκόπου **Ἠλίου Μηνιάτη** τοῦ Κεφαληνιέως, καὶ τυπωθεῖσα ἐν Ἀμστελοδάμῳ. Δαπάνῃ Ἰωάννου τοῦ Πριγκοῦ ἀπὸ Ζαγωρᾶς τῆς Ἑλλάδος. Χρήσιμον ἡγοῦμαι τοῦτο τὸ βιβλιάριον ἔσεσθαι πολλοῖς. Ἐν ἔτει Χριστοῦ 1760." Ἡ ἔκδοσις αὕτη λείπει παρὰ τῷ **Βρετῷ**. Ἶδ. καὶ κώδ. ἀρ. 731 (29).

939. 74. Χαρτ. 8. XVI.

Παλαιὰ Διαθήκη κατ' ἐπιτομὴν ἐν κοινοτέρᾳ γλώσσῃ (κολοβ.).

940. 75. Χαρτ. 8. XVI.

Ἐφραὶμ τοῦ Σύρου καὶ **ἄλλων** Λόγοι κατηχητικοί.

941. 76. Χαρτ. 8. XVIII. (σ. 747).

Λόγοι καὶ ἐγκώμια ἐν τῇ καθωμιλημένῃ.

942. 77. Χαρτ. 8. XVIII. (σ. 807).

1. Λόγοι εἰς τὰ τῶν Κυριακῶν εὐαγγέλια.

2. Λόγοι καὶ ἐγκώμια εἰς ἑορτάς.

Ἅπαντα ἐν τῇ καθωμιλημένῃ.

943. 78. Χαρτ. 8. XVII. (σ. 288).

Ἰωάννου τοῦ Δαμασκηνοῦ, Ἐπιφανίου Κύπρου, Θεοδώρου τοῦ Στουδίτου, Ἰωάννου τοῦ Χρυσοστόμου καὶ **ἄλλων** Λόγοι καὶ ἐγκώμια εἰς δεσποτικὰς καὶ θεομητορικὰς ἑορτάς.

Μεταξὺ τῶν φ. 52 *καὶ* 68 *ἐξεκόπησαν τὰ φύλλα, ἀνθ' ὧν παρενετέθησαν ἄλλῃ χειρὶ* (XVII. αἰών.)· 1. "'Ανάμνησις *μερικὴ περὶ τοῦ Ἄθω ὄρους, τὰ λεγόμενα πάτρια.*" 2. "Περὶ *τῆς ἱερᾶς μονῆς τῶν Ἰβήρων καὶ τῆς σεβασμίας εἰκόνος τῆς Πορταϊτησσας.*"

Ἐν τέλει τοῦ ὅλου κώδικος Συνῆλθεν ὧδε τῇ βίβλῳ τέλος. Ἔτος ᾳχο' (=1670) χειρὶ Παχωμίου.

944. 79. Χαρτ. 8. XVI.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ (ἀκέφ.).

945. 80. Χαρτ. 8. XVI.

"**Σύνοψις συνοδικῶν κανόνων Ματθαίου τοῦ Βλαστάρη.**"

946. 81. Χαρτ. 8. XVIII.

1. "**Ἰωάννου** ἀρχιεπισκόπου **Κωνσταντινουπόλεως** [**τοῦ Νηστευτοῦ**] Κανονάριον διαγορεῦον περὶ πάντων τῶν παθῶν

λεπτομερῶς καὶ τῶν τούτοις προσφόρων ἐπιτιμίων, περί τε τῆς ἁγίας κοινωνίας, βρωμάτων τε καὶ ποτῶν, καὶ εὐχῆς, λίαν συμπαθέστατον."

2. "Τοῦ **αὐτοῦ** Διακρίσεις καὶ ἐπιτίμια τῶν διαφόρων ἁμαρτιῶν καὶ λεπτοτέρα ἐξέτασις."

3. "**Τοῦ ἁγίου Ἰωάννου** Τὰ ἐπιτίμια."

4. "Περὶ τῶν ἐν ἐθνικοῖς μολυνομένων σώμασιν."

5. "**Νείλου τοῦ σοφοῦ** Ἐπιστολὴ πρὸς Χαρικλῆν πρεσβύτερον."

6. "Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων."

7. "Διήγησις μερικὴ τῶν ἐπιστολῶν **Ἀλεξίου, Βασιλείου καὶ Νικολάου** πατριάρχου."

8. "**Θεοδώρου** τοῦ μεγάλου ἀσκητοῦ καὶ **ἐπισκόπου Ἐδέσης** Κεφάλαια ψυχωφελῆ πάνυ, ρ'."

9. "**Διαδόχου ἐπισκόπου Φωτικῆς** τῆς παλαιᾶς Ἠπείρου Κεφάλαια ἀσκητικὰ ἑκατόν."

947. 82. Χαρτ. 8. XVII. XVIII.

1. Κανόνες δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν.

2. **Γρηγορίου τοῦ Θεολόγου** Λόγοι

ἐν τῇ καθωμιλημένῃ. α'. "Ἐξήγησις τοῦ ἐπιγραφομένου λόγου Θρῆνος περὶ τῶν τῆς αὐτοῦ ψυχῆς παθῶν." β'. "Ἐξήγησις τοῦ Σχετλιαστικοῦ." γ'. "Ἐξήγησις διὰ τὴν ματαιότητα καὶ ἀπιστίαν τῆς ζωῆς καὶ τὸ ἀνταμικὸν τέλος ὁλοινῶν."—"Θρῆνος διὰ τῶν αὐτοῦ μόγων καὶ πρὸς Χριστὸν δέησις, περὶ λύσεως τοῦ αὐτοῦ βίου."—"Ἐκ τοῦ λόγου του κατὰ ἐρώτησιν καὶ ἀπόκρισιν."—"Ὄνειρον διὰ τὴν Ἀναστασίαν ἐκκλησίαν."—"Διὰ ταῖς διαφοραῖς τῆς ζωῆς καὶ διὰ τοὺς ψευδοπαπάδες."—"Πρὸς τοὺς ἱερεῖς τῆς Κωνσταντινουπόλεως καὶ εἰς αὐτὴν τὴν πόλιν."—"Πρὸς τοὺς καλογέρους ὁποῦ εἶναι εἰς τὸ κοινόβιον."—"Πρὸς τὸν Ἑλλήνιον διὰ τοὺς μοναχοὺς παρακινητικόν."—"**Τοῦ αὐτοῦ** καὶ μιλεῖ διὰ στράταις."—"Εἰς τὴν ἐν νηστείαις σιωπήν."—"Εἰς τὴν ἀρρωστίαν."

3. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λόγοι μεταφρασθέντες εἰς κοινὴν γλῶσσαν ὑπὸ **Ἀναστασίου τοῦ Γορδίου.**

Δύο Περὶ νηστείας καὶ εἰς Περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως.

4. "Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου" σιγιλλίου **Παϊσίου πατριάρχου** πρὸς τοὺς ἐν τῷ Ἄθωνι πατέρας περὶ πνευματικῶν.

Μεταξὺ τῶν ἐν τέλει ὑπογεγραμμένων συνοδικῶν καὶ "Ὁ Ἀθηνῶν Ἰάκωβος." Ἐξεδόθη δὲ τὸ σιγίλλιον ἐν ἔτει σωτηρίῳ ᾳψκζ' (=1727) ἐν μηνὶ Νοεμβρίῳ ἰνδικτιῶνος ϛ'.

5. Κανόνες τῶν πατέρων κατὰ παράφρασιν **Ἡσαΐου μοναχοῦ.**

6. **Γρηγορίου τοῦ Θεολόγου** Εἰς τὴν βραδυτῆτα.

7. **Βασιλείου τοῦ μεγάλου** κατὰ μεθυόντων.

8. **Τοῦ αὐτοῦ** Εἰς τὸ Πρόσεχε σεαυτῷ.

9. **Τοῦ αὐτοῦ** Περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς.

Τὰ ὑπ' ἀρ. 6—9 περιέχουσι τὸ κείμενον μετὰ διαστίχου ἐξηγήσεως.

948. 83. Χαρτ. 8. XVI.

1. **Κυρίλλου Ἀλεξανδρείας** Λόγος περὶ ἐξόδου ψυχῆς καὶ περὶ τῆς δευτέρας παρουσίας.

2. Ἐκ τοῦ **Γεροντικοῦ.**

3. **Ἐφραὶμ τοῦ Σύρου** Λόγος καὶ ἀποσπάσματα.

4. "Ὁμιλία ῥηθεῖσα τῇ ιϛ' **Κυριακῇ** τοῦ κατὰ Λουκᾶν εὐαγγελίου."

949. 84. Χαρτ. 8. XVI.

Νομοκάνων

ἐν τῇ καθωμιλημένῃ. Κεφ. υκβ', ὧν προτάσσεται πίναξ. Κεφ. α' Περὶ κριτοῦ ἤτοι ἀρχιερέως. Κεφ. υκβ Περὶ ἐλεημοσύνης. Ἐν τέλει Τάξις θρόνων καὶ Τὰ ὀφφίκια τοῦ παλατίου.

950. 85. Χαρτ. 8. XVI.

Κανόνες τῶν **Ἀποστόλων** (κολοβ.).

951. 86. Χαρτ. 8. XVII.

1. Βίος καὶ πολιτεία Ἀντωνίου τοῦ μεγάλου.

2. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν ἁγίαν Κυριακήν.

3. [**Τοῦ αὐτοῦ**] "Λαζάρου καὶ τοῦ πλουσίου."

4. **Θεοδώρου τοῦ Στουδίτου** Κατηχήσεις.

5. **Ἐπιφανίου Κύπρου** Φυσιολόγος.

6. Βίοι βραχεῖς τῶν δ' Εὐαγγελιστῶν.

7. Λόγοι ἑπτά.

α'. Περὶ ἀγάπης.—β'. Περὶ πειρασμοῦ.—γ' Περὶ φιλαργυρίας.—δ'. Περὶ ἐλεημοσύνης.—ε'. Περὶ φθόνου.—ϛ'. Περὶ μετανοίας.—ζ' Περὶ ἐξομολογήσεως.

Τὰ ὑπ' ἀρ. 1, 3, 4 καὶ 7 ἐν τῇ καθωμιλημένῃ.

952. 87. Χαρτ. 8. XIX.

1. "Χριστιανῶν ὁδηγία

διὰ τῆς Σοφίας τοῦ Σολομῶντος, ὁδηγὸς τῆς συνειδήσεως, γνῶμαι καὶ ἀποφάσεις, ὁποῦ ἑρμηνεύουσι τὸν Χριστιανὸν νὰ κυβερνᾷ τὴν συνείδησίν του."

2. "Καλανδάριον

μεταγλωτισθὲν ἐξ οἰγγαρικῆς διαλέκτου εἰς πεζὴν Ῥωμαϊκὴν φράσιν ὅλου τοῦ ἐνιαυτοῦ καὶ τῶν ἐφεξῆς ἐλευσομένων χρόνων παρά τινος ἀνωνύμου πρὸς χρῆσιν τῶν φιλομαθῶν ἀναγνωστῶν."

Ἐν τέλει 1813 μηνὸς Ἀπριλίου 28 ἐν τῇ κώμῃ Ἀδραμυτίου χωρίον Φρένελη.

3. Συνταγαὶ ἐκ τῆς Σολομωνικῆς.

953. 88. Χαρτ. 8. XV.

1. Λόγοι ἐπὶ τοῦ Εὐαγγελίου (ἀκέφ.)

ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου μέχρι τῆς Πεντηκοστῆς.

2. **Ἰωάννου τοῦ Χρυσοστόμου** καὶ **Ἐφραὶμ τοῦ Σύρου** Ὁμιλίαι.

954. 89. Χαρτ. 8. XV.

1. "**Βαρλαὰμ μοναχοῦ** Κατὰ τῶν ἐξ ὧν καὶ αὐτὸς εἵλκε τὸ γένος δυτικῶν Ἰταλῶν λόγοι κ'."

2. **Νείλου Θεσσαλονίκης** Λόγος πρὸς Λατίνους.

955. 90. Χαρτ. 8. XVIII.

"**Μεταμόρφωσις τοῦ παλαιοῦ ἀνθρώπου**

καὶ τοῦ νέου γένεσις ἤτοι βίβλος κατανυκτικὴ περὶ τῶν τεσσάρων τοῦ ἀνθρώπου ἐσχάτων μεταφρασθεῖσα ἐκ τῆς Λατινίδος εἰς τὴν κοινὴν τῶν Ἑλληνορωμαίων διάλεκτον παρὰ **Ἰωάννου Κομνηνοῦ** *τοῦ ἰατροῦ.*"

956. 91. Χαρτ. 8. XVII.

Μαρτύριον τῶν ἁγίων Μαρδαρίου καὶ Ὀρέστου

ἐν τῇ καθωμιλημένῃ.

957. 92. Χαρτ. 8. XVII.

1. "'Αρχὴ σὺν Θεῷ τῆς **ὑποθέσεως τοῦ παρόντος**

βιβλίου τῆς ἐχούσης μὲν τὴν ἀνάμνησιν τῆς ἰδίας ψυχῆς, ὑπὸ δὲ εὐχῶν πατέρων συνεγράφη Παύλου τε φημὶ καὶ Μάρκου σὺν Θωμᾷ καὶ Ἰωάννῃ ἅμα Ἰακώβῳ Λουκᾷ τε καὶ Μακαρίῳ πρὸς ὃν ἐστάλη αὕτη παρὰ μοναχοῦ τοῦ **Δαμασκηνοῦ Πέτρου**· *συνεργίᾳ δὲ τριῶν ἀρχιερέων ὧν αἱ εὐχαὶ συνήργησαν τῷ λόγῳ, τῇ δὲ συμβουλῇ ὠφέλησαν μεγάλως.*" Λόγοι κδ΄.

2. "'**Αναστασίου πατριάρχου Ἀντιοχείας καὶ Κυρίλλου** Ἔκθεσις σύντομος

τῆς ὀρθοδόξου πίστεως κατ' ἐρωταπόκρισιν. Ἀναστάσιος ἐρωτᾷ καὶ ἀποκρίνεται Κύριλλος."

3. "Ἐκ τοῦ *βίου τοῦ ἁγίου Νήφωνος τοῦ ἐν Κωνσταντινουπόλει.*"

4. "Τοῦ **ἁγίου Κασιανοῦ** *τοῦ Ῥωμαίου Περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν.*"

958. 93. Χαρτ. 8. XIX.

1. "Τοῦ *παναγιωτάτου καὶ σοφωτάτου πάπα καὶ πατριάρχου τῆς μεγαλουπόλεως* **Ἀλεξανδρείας** *κυρίου κυρίου Γερασίμου Εἰς τεθνεῶτας.*"

2. Εὐχὴ **τῆς ἐξομολογήσεως.**

Ἀμφότερα ἐν τῇ καθωμιλημένῃ.

959. 94. Χαρτ. 8. XVII.

1. Διάφοροι εὐχαί (*ἀκέφ.*).

2. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

3. Ἀποστολοευάγγελα τῆς ἑβδομάδος.

4. "Βίος καὶ πολιτεία τῆς ὁσίας μητρὸς ἡμῶν Εὐπραξίας μεταφρασθεὶς εἰς τὴν κοινὴν γλῶτταν παρὰ Ἰγνατίου [Πετρίτση;] **τοῦ Χίου.**"

5. "Ἱστορία Διονυσίου ἱερομονάχου τοῦ ῥήτορος

τοῦ ἀσκήσαντος ἐν τῇ σκήτῃ τῆς μεγάλης Λαύρας, κοιμηθέντος δὲ ἐν ἔτει ,ζριδ΄ Ὀκτωβρίου ,ε΄." Ἐν τῇ καθωμιλημένῃ.

960. 95. Χαρτ. 8. XVI.

1. Μαρτύριον τοῦ ἁγίου Σιλβέστρου (*ἀκέφ.*).

2. **Ἀθανασίου Ἀλεξανδρείας** Πρὸς **τοὺς ἀποταξαμένους** ἀρχαρίους.

3. Ἐκ τοῦ **Γεροντικοῦ** διάφορα.

4. **Ἱππολύτου τοῦ Θηβαίου** Ἐκ τοῦ χρονικοῦ αὐτοῦ συντάγματος.

5. Τινὰ περὶ συνόδων καὶ αἱρέσεων.

6. "Τοῦ πατριάρχου Ἀντιοχείας [**Θεοδώρου τοῦ Βαλσαμῶνος**;] Ἀντιγραφὴ πρὸς τὸν ἀρχιεπίσκοπον Γραδαίνης περὶ ἀζύμων."

7. "Περὶ Φραγγῶν καὶ τῶν λοιπῶν Λατίνων."

8. "Πῶς δεῖ πιστεύειν εἰς τὴν ἁγίαν Τριάδα

καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν" κατ' ἐρώτησιν καὶ ἀπόκρισιν.

9. Ἐρωτήσεις **Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ Θεολόγου.**

10. Ἐκ τῶν ἀποκρίσεων τοῦ ἁγίου **Ἀναστασίου τοῦ Σιναΐτου.**

11. Περὶ ἐξομολογήσεως καὶ κοινωνίας.

12. Ποῦ συμφέρει προσφέρειν τὰ χρήματα ἐν ἐκκλησίᾳ ἢ εἰς τοὺς πένητας.

13. Ἐκλογὴ γνωμῶν **πατέρων** περὶ διαφόρου ὕλης.

961. 96. Χαρτ. 16. XV.

Πατερικόν

ἐν ᾧ καὶ "φυσιολογικὸν καὶ πίναξ τοῦ καθενὸς ζῴου." Προτάσσεται πίναξ τοῦ ὅλου ἀκριβὴς ἐν κεφ. νε΄.

***962.** 97. Χαρτ. 4. XVII. *σελ.* 2.

Εὐαγγέλιον.

Κοσμεῖται ὑπὸ ὡραίων ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων, τῶν πλείστων ἐρυθρῶν. Ἐν τέλει Ἐτελειώθη τὸ παρὸν θεῖον καὶ ἱερὸν Εὐαγγέλιον τὸ καθ' ἡμερούσιον διὰ χειρὸς Ματθαίου ἱερομονάχου καὶ πρωτοσυγγέλου τῆς μεγάλης ἐκκλησίας τοῦ ἐκ Πωγωϊαννῆς ἐπὶ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν καὶ αὐτοκράτορος πάσης Ῥωσίας κυροῦ Θεοδώρου Ἰωάννου ἐν τῇ θεοσώστῳ πόλει Μοσχοβίᾳ ἐν ἔτει ,ζρδ΄ μηνὶ Ὀκτωβρίῳ ἰνδ^{ος} ι΄ (=1595;). Τὸ περικάλυμμα κοσμεῖται ἔξωθεν ὑπὸ τεσσάρων κομβίων ἐνεχόντων κρυστάλλους, ὑφ' οὓς διαφαίνονται μικραὶ εἰκόνες.

963. 98. Χαρτ. 4. XIX.

"Ἀκολουθία **τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν**

τῶν ἐν τῷ ὄρει τοῦ Ἄθω διαλαμψάντων, ψαλλομένη τῇ πρώτῃ Κυριακῇ τοῦ Ματθαίου, ἤτοι μετὰ τὴν Κυριακὴν τῶν ἁγίων Πάντων." Ἐν ἔτει σωτηρίῳ ϡωνη΄ (=1858) κατὰ μῆνα Αὔγουστον.

964. 99. Χαρτ. 4. XVII.

Μηναῖον Ἰανουαρίου ις΄—λα΄.

965. 100. Χαρτ. 4. XVI. XVII.

1. Ψαλτήριον (XVI.).

Ἐν τέλει Ἐτελιώθη τὸ παρὸν Ψαλτήριον ἐπὶ ἔτους ,ζϡε΄ ἐν μηνὶ Μαΐῳ ιη΄ (=1588) καὶ ἀφιερώθι εἰς τὴν ἁγίαν μονὴν τοῦ ἁγίου καὶ θαυματουργοῦ Νικολάου, τοῦ Σταυρονικήτα. Ἕπεται δὲ τῷ σημειώματι τούτῳ σταυρὸς, οὗ κάτωθεν Θύτης Κουκουζέλης.

2. "Ὕμνοι τριαδικοὶ κατ' ἦχον." (XVII.)

Ἐν τέλει Ἔτους ,ζρπ΄ ἐν μηνὶ Ἰουλίου κγ΄ (=1672).

966. 101. Χαρτ. 4. XVI. *σελ.* 2.

1. Τριῴδιον.

Ἐν τέλει Μόλις ἐφεῦρον τέρμα τοῦ Τριῳδίου. Θεοῦ τὸ δῶρον καὶ Χριστοφόρου ἱερέως τοῦ Ἐλευθερίου χείρ. Ἔτους ,ϛχ' ἰνδ^{ος} ι' ἐν μηνὶ Ἰουνίῳ (1522).

2. Ὁδηγίαι πρὸς εὕρεσιν τῶν ἑορτῶν τοῦ ἔτους.

967. 102. Βομβ. 4. XIV. σελ. 2.
Εὐαγγέλιον (ἀκέφαλον).

Ἐν τέλει Εἴληφε τέρμα δόξα τῷ δεδοκότι ἔτους ,ϛωκζ' ἰνδ. δευτέρας (=1319) διὰ χειρὸς Θεοδοσίου ἱερομονάχου. Διὰ συνδρομῆς καὶ ἐξόδου Μιχαὴλ ἱερέως τοῦ Ροδωάμπέλη.

968. 103. Χαρτ. 8. XVII.
Μηναῖον Μαΐου.

Ἐν τέλει Θεοῦ τὸ δῶρον καὶ Νεκταρίου πόνος.

969. 104. Χαρτ. 8. XVII.
Μηναῖον Δεκεμβρίου ιη'—λα'.

Ἐν τέλει Τὸ παρὸν μηναῖον ἐγράφη χειρὶ Κυρίλλου μοναχοῦ ἐν ἔτει ,ζρκ' (=1612).

970. 105. Χαρτ. 8. XVII.
1. Μηναῖον Μαρτίου.
2. "Στιχηρὰ θεοτοκία τὰ πρῶτα τῶν ἡ ἤχων μετὰ καὶ τῶν δογματικῶν."

971. 106. Χαρτ. 8. XV.
"Πεντηκοστάριον
σὺν Θεῷ ἁγίῳ περιέχων τὴν πρέπουσαν αὐτῷ ἀκολουθίαν ἀρχόμενον ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα μέχρι τῶν ἁγίων Πάντων (κολοβ.).
Τὰ φύλλα 1—12 εἰσὶ γεγραμμένα χειρὶ τοῦ XVI. αἰῶνος.

972. 107. Χαρτ. 8. XV.
Μηναῖον Σεπτεμβρίου.

973. 108. Χαρτ. 8. XVI.
1. Μηναῖον Δεκεμβρίου α'—ιζ'.
2. Μνημόσυνα τῶν ἁγίων προπατόρων (κολοβ.).

974. 109. Χαρτ. 8. XVII.
Μηναῖον Αὐγούστου.

975. 110. Χαρτ. 8. XVI.
1. Βίος τῆς ἁγίας Ματρώνας (ἀκέφ.).
2. Μηναῖον Ἰουλίου.
3. Βίος μάρτυρός τινος (ἀκέφ. καὶ κολοβ.).

976. 111. Χαρτ. 8. XVI.
Μηναῖον Μαΐου (κολοβ.).

977. 112. Χαρτ. 8. XVI.
"Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας
τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα."

Ἐγράφη ἐπὶ ἔτους ,ζοβ^{ω} ἰνδ. ζ' (=1564) Χριστοφόρου μοναχοῦ.

978. 113. Χαρτ. 8. XIX.
Ἀκολουθία ἁγ. Φιλαρέτου τοῦ ἐλεήμονος.

979. 114. Χαρτ. 8. XVI.
Μηναῖον Ἀπριλίου.

980. 115. Χαρτ. 8. XVII.
Μηναῖον Νοεμβρίου ιε'—λα'.
...Ἐν ἔτει ,ζρπε' ἐν μηνὶ Ὀκτοβριῳ κδ' (=1676).

981. 116. Χαρτ. 8. XVI.
Μηναῖον Ὀκτωβρίου.

982. 117. Χαρτ. 8. XVII.
Μηναῖον Σεπτεμβρίου.
...Ἐν ἔτει ,ζρπδ' ἐν μηνὶ Αὐγούστῳ ,ζ' (=1676).

983. 118. Χαρτ. 8. XVI.
1. Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.
2. Βασιλείου τοῦ μεγάλου Λειτουργία.
3. Ἡ λειτουργία τῶν προηγιασμένων.
4. "Ἀκολουθία τοῦ ἁγιασμοῦ τοῦ κατὰ μῆνα γινομένου."
5. "Εὐχὴ συγχωρητική."
6. "Ἀποστολοευάγγελα διάφορα."
7. "Σελήνης κύκλοι καὶ νόμοι καὶ φάσεις."

984. 119. Χαρτ. 8. XV.
1. Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.
2. Βασιλείου τοῦ μεγάλου Λειτουργία.
3. Εὐχὴ συγχωρητικὴ πρὸς τοὺς μέλλοντας μεταλαβεῖν.

*985. 120. Χαρτ. 8. XVII.
1. Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.
2. Βασιλείου τοῦ μεγάλου Λειτουργία.
3. Ἡ λειτουργία τῶν προηγιασμένων.
4. "Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ."
5. Εὐχαὶ πέντε.

Ἐτελειώθησαν αἱ τρεῖς λειτουργίαι σὺν τῷ μικρῷ ἁγιασμῷ καὶ αἱ πέντε εὐχαὶ Δεκεμβρίῳ ιβ' ἡμέρᾳ β' ἔτους ,ζρλγ' ἰνδ. η' (=1625). Θύτης Ἱερόθεος ἐκ Κύπρου νήσου τὸ δὲ ἐπίκλιον Χατζῆς ὁ Κουκουζέλης.
Κοσμεῖται ὑπὸ περιτέχνων ἀρχικῶν γραμμάτων.

986. 121. Χαρτ. 8. XV
Μηναῖον Αὐγούστου.

987. 122. Χαρτ. 8. XV.
Μηναῖον Νοεμβρίου.

Φύλλα τινὰ ἐν τῇ ἀρχῇ, τῷ μέσῳ καὶ τῷ τέλει εἰσὶ γεγραμμένα χειρὶ τοῦ XVII. αἰῶνος.

988. 123. Χαρτ. 8. XVIII. XIX.
1. Κανόνες παρακλητικοὶ εἰς τὸν ἅγιον Νικόλαον.
2. Μεγαλυνάρια εἰς τὸν αὐτὸν ἅγιον.

Ἐν τέλει Διὰ χειρὸς Ζαχαρίου ἱερομονάχου ϡωμβ′ (=1842) Νοεμβρίου 10 Σταυρονικήτᾳ.

3. Εὐαγγέλια δύο.

4. Οἶκοι κατ' ἀλφάβητον εἰς τὸν ἅγιον Νικόλαον.

5. Στίχοι ἓξ εἰς τὸν ἅγιον Νικόλαον.

Ἐν τέλει Κατὰ μήνα Ἰαννουάριον 1845.

989. 124. Χαρτ. 16. XVIII.

1. Εἰς τὸν μέγαν ἑσπερινὸν τῆς ἀγρυπνίας ψαλμός (Μακάριος ἀνήρ).

2. Πολυέλεος.

3. "Ἐκλογὴ συλλεγεῖσα παρὰ Νικηφόρου τοῦ Βλεμήδους ψαλλομένη εἰς τὰς τοῦ ὅλου χρόνου (*sic*)."

Ἐν τέλει Ἔτους ϡψ91 (*sic*=1791) Ἀπριλίου γ′.

990. 125. Χαρτ. 8. XVII.

1. Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.

2. Βασιλείου τοῦ μεγάλου Λειτουργία.

3. Ἡ λειτουργία τῶν προηγιασμένων.

4. Ἀπόστολοι ἑορτῶν κατ' ἐκλογήν.

5. Ἀποστολοευάγγελα.

991. 126. Χαρτ. 8. XVI.

Προφητειῶν ἀναγνώσματα καὶ ἐξαποστειλάρια.

992. 127. Χαρτ. 8. XV.

Τετραευάγγελον (ἀκέφαλον καὶ κολοβόν).

993. 128. Χαρτ. 16. XVII.

1. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

2. Εὐχὴ συγχωρητική.

3. Ἰδιόμελα τοῦ κατὰ τὴν ἡμέραν ἁγίου.

4. Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου (Πᾶσα ἡ γῆ ἀλαλάξατε).

5. "Ὅταν σταυροῖ πάθος νοστήματος μετὰ τῆς ἁγίας λόγχης."

994. 129. Χαρτ. 8. XVI.

Ἀπόστολος (ἀκέφαλος).

Ἐν τέλει Εἴληφε τέρμα τοῦ Ἀποστόλου τὸ δέλτιον ,ξξβ′ ἔτει ἡλίου κύκλος ε′, σελήνης κύκλος ιβ′ ἐν μηνὶ Ἰουνίῳ ις′ ἰνδικτ. ϛ′. Καὶ τὸ μὲν ἔτος φαίνεται ὂν τὸ 1553, πρὸς ὃ συμπίπτουσιν οἱ ἀναγεγραμμένοι κύκλοι ἡλίου καὶ σελήνης, ἀλλ' ὅμως τοῦτο οὔτε πρὸς τὸ ,ξξβ′ ἀνταποκρίνεται, οὔτε πρὸς τὴν ἰνδικτιῶνα συμφωνεῖ.

995. 130. Χαρτ. 8. XVI.

Ψαλτήριον (ἀκέφαλον).

Ἐτελειώθην τὸ Ψαλτήριον διὰ χειρὸς ἐμοῦ Ἀντωνίου υἱοῦ Λάσκαρη ἐκ Γάλατος...

996. 131. Χαρτ. 8. XVI.

Μηναῖον Ἰουλίου καὶ Αὐγούστου (ἀκέφ.).

Τέλος σὺν Θεῷ ἁγίῳ τῆς παρούσης ἀκολουθίας ἐν ἔτει αῳφῳλῳζῳ (=1537) τῆς ἐκ Χριστοῦ Γεννήσεως, ἐκ δὲ τῆς τοῦ κόσμου κτήσεως ,ζῳωῳζ-ῳ. Ἡ ἀπὸ κτίσεως κόσμου χρονολογία ἔσφαλται προφανῶς.

997. 132. Χαρτ. 16. XVI.

1. "Κανὼν τοῦ ἁγίου Κοσμᾶ."

2. "Πολυέλεος

ψαλλόμενος ἐν ταῖς δεσποτικαῖς ἑορταῖς καὶ ἐν ταῖς μνήμαις τῶν δοξαζομένων ἁγίων περιέχων καὶ τὰς καθ' ἑορτὴν ἐκλογάς, ἁρμοδίως ἐρανισθείσας παρά τινος μοναχοῦ Σιναΐτου."

998. 133. Χαρτ. 16. XVIII.

1. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

2. Βασιλείου τοῦ μεγάλου Ἐξορκισμὸς πρὸς τοὺς πάσχοντας ὑπὸ δαιμόνων.

3. Εὐχαί τινες.

4. Τὰ ια′ ἑωθινὰ εὐαγγέλια.

5. Τύποι ἐπιστολῶν πρὸς ἱερωμένους ἐν τῇ καθωμιλημένῃ.

6. Τάξις περὶ ἐξομολογήσεως.

7. Ἀκολουθία τῆς κοινῆς παρακλήσεως.

999. 134. Χαρτ. 16. XIX.

1. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

2. "Τοῦ ἁγίου ἱερομάρτυρος Μοδέστου Ἀπολυτίκιον."

3. Εὐχαί τινες.

1000. 135. Χαρτ. 8. μικρ. XVII.

1. Ἀκολουθία νεκρώσιμος (ἀκέφαλος).

2. Κανόνες νεκρώσιμοι.

1001. 136. Χαρτ. 16. XIX.

Ἀκολουθία τοῦ Λυχνικοῦ.

ϡωλγ′ Φευρουάριος κῃ′ (=1833).

1002. 137. Χαρτ. 16. XVII.

Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

1003. 138. Χαρτ. 16. XVIII.

"Ἀκολουθία τῆς ἁγίας ἐνδόξου καὶ καλλινίκου μάρτυρος Θωμαΐδος."

Περιβάλλεται ἔξωθεν διὰ φύλλου (Περγ. 4. XIII. σελ. 2) περιέχοντος ὕλην ἐκκλησιαστικήν.

*1004. 139. Χαρτ. 16. XIX.

1. "Κανὼν παρακλητικὸς

πρὸς τὴν πάνσοφον καὶ παρθενομάρτυρα νύμφην τοῦ Χριστοῦ Αἰκατερίναν, ψαλλόμενος ἐν τῇ τοῦ Σιναίου ὄρους πανσέπτῳ Μονῇ ἐπὶ τῇ ἐν ταύτῃ ἐλεύσει διαφόρων εὐσεβῶν Χριστιανῶν προσκυνήσεως χάριν 1844."

Ἄνωθεν ἐν τῷ ἐπιτίτλῳ κοσμήματι Χειρ Ἀθωνίτου μοναχοῦ.

2. Τροπάρια εἰς τὴν αὐτήν.

3. Μεγαλυνάρια εἰς τὴν αὐτήν.

1005. 140. Χαρτ. 16. XVII.

Εὐχαὶ καὶ ἀκολουθίαι εἰς ἀνωνύμους ἁγίους.

1006. 141. Χαρτ. 8. XVIII.

"Ἀκολουθία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν τοῦ Αἰγυπτίου καὶ τοῦ Ἀλεξανδρέως." (κολοβ.).

1007. 142. Χαρτ. 8. XVII.

Ἀκολουθία τῆς ἀποτομῆς τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου (κολοβ.).

1008. 143. Χαρτ. 8. XVII.

1. Θεοτοκάριον.

Ἐν τέλει...Θεοῦ τὸ δῶρον καὶ πόνος Νεκταρίου. Ἐγράφη τὸ παρὸν θεοτοκάρι ἐν ἔτει ,ζρλε΄ μηνὶ Μαρτίῳ ιε΄ (=1627).

2. Κανόνες εἰς τὸν ἅγιον Νικόλαον.

3. Κανόνες εἰς τὴν Θεοτόκον.

***1009.** 144. Χαρτ. 8. XVII.

1. Ἀκολουθία τοῦ ἁγίου Νικολάου.

Κοσμεῖται ὑπὸ τῆς εἰκόνος αὐτοῦ.

2. Ἀκολουθία τοῦ ὁσίου Ἀμβροσίου Μεδιολάνων καὶ τὰ μεθέορτα τοῦ ἁγίου Νικολάου.

3. Ἀκολουθίαι ἄλλων τινῶν ἁγίων

ἐν αἷς καὶ "Ἀμούντου πλησίον τῶν Βλαχερνῶν κειμένου."

Ἐσυναρμόσθη δὲ καὶ ἐγράφει ἡ ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμβροσίου παρ' ἐμοῦ τοῦ ἐλαχίστου **Ἀνθίμου** ἱεροδιακόνου ἐν ἔτει ,ζριη΄ ἐν μηνὶ Μαρτίῳ εἰς τὰς κθ΄ (=1610)....

4. Ψαλμὸς τοῦ Δαυίδ (Μακάριος ἀνήρ).

5. Πολυέλεος.

6. "Ὁδηγία περὶ τῆς ἀκολουθίας

ἂν ἡ ἑορτὴ τοῦ ἁγίου Νικολάου τύχῃ Κυριακὴ, ὡς καὶ ἡ τοῦ ἁγίου Ἀμβροσίου."

1010. 145. Χαρτ. 8. XVIII.

1. Τροπάρια εἰς τοὺς Ἀσωμάτους.

2. Πολυέλεος.

3. Ὕμνοι εἰς τὴν ἁγίαν Τριάδα καὶ ἀντίφωνα.

4. Αἱ ἀκολουθίαι τοῦ ἀρχιστρατήγου καὶ τῶν λοιπῶν ἀσωμάτων δυνάμεων.

5. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὴν σύναξιν τῶν ἀρχαγγέλων.

6. "Ἐκλογὴ εἰς τοὺς ἁγίους Ἀρχαγγέλους."

7. "Ἑρμηνεία εἰς τὸ τῆς Χαναναίας εὐαγγέλιον καὶ τῶν ἑβδομάδων τῶν μετὰ τὰ Φῶτα."

1011. 146. Χαρτ. 8. XVII.

1. Ἀκολουθία τοῦ ἁγίου Ἠλίου (ἀκέφαλος).

2. Λόγοι πανηγυρικοὶ εἰς τὸν αὐτόν.

1012. 147. Χαρτ. 8. XIX.

1. Ἀπολυτίκια τοῦ ἁγίου Ἀντίπα.

2. Ἀκολουθίαι Ἀθανασίου καὶ Κυρίλλου.

1013. 148.

Χαρτ. 8. μέγ. XVIII. (φ. 333).

1 (φ. 1 α). Δοκίμια κονδυλίου, δείγματα ἐπιστολῶν καὶ ἐπιγράμματα.

2 (φ. 12 α). "Τὰ ἐν τῷ παρόντι περιεχόμενα."

3 (φ. 16 α). "**Γρηγορίου τοῦ Θεολόγου** Εἰς τὸν ἑαυτοῦ πατέρα, ἐν ᾧ καὶ εἰς Νόναν μητέρα παραμυθητικός."

4 (φ. 95 α). "Χρηστοήθεια

συντεθεῖσα παρὰ τοῦ τιμιωτάτου καὶ λογιωτάτου ἀρίστου τοῦ ἔν τε γραμματικῇ καὶ φιλοσοφίᾳ καὶ πάσῃ ἄλλῃ παιδείᾳ διδασκάλου τῆς πατριαρχικῆς σχολῆς [**Ἀντωνίου**] **τοῦ Βυζαντίου.**"

5 (φ. 169 α). **Βασιλείου τοῦ μεγάλου** Ὁμιλία κατὰ τῶν ὀργιζομένων.

6 (φ. 189 α). **Λουκιανοῦ** Περὶ τοῦ ἐνυπνίου.

7 (φ. 205 α). **Τοῦ αὐτοῦ** Νεκρικοὶ διάλογοι.

8 (φ. 215 α). **Ὁμήρου** Ἰλιάδος Α καὶ Δ.

9 (φ. 299 α). **Γρηγορίου τοῦ Θεολόγου** Εἰς τὴν καινὴν Κυριακὴν καὶ εἰς τὸ ἔαρ.

10 (φ. 327 α). **Τοῦ αὐτοῦ** Εἰς Γρηγόριον Νύσσης ἐπιστάντα μετὰ τὴν χειροτονίαν.

Ἅπαντα τὰ ἐν τῷ κώδικί εἰσι κείμενα μετὰ διαστίχου ἐξηγήσεως. Ἐν φ. 314 β Μαΐου οι (sic) 1748.

1014. 149. Χαρτ. 8. XVIII. (φ. 60).

"**Γεωργίου τοῦ Λεκαπηνοῦ** Περὶ συντάξεως τῶν ῥημάτων."

1015. 150. Χαρτ. 8. XVII. (φ. 257).

1 (φ. 1 α). **Γρηγορίου τοῦ Θεολόγου** Ὠδὴ η΄ (ἀκέφ.) καὶ θ΄.

2 (φ. 2 α). **Τοῦ αὐτοῦ** Ὁμιλίαι.

φ. 2 α. Εἰς τὸ Πάσχα καὶ τὴν βραδυτῆτα.—φ. 22 β. Εἰς τὴν καινὴν Κυριακήν.—φ. 31 α. Εἰς τὴν Πεντηκοστήν.—φ. 45 β. Εἰς τὰ Θεοφάνεια.—φ. 58 β. Εἰς τὰ ἅγια Φῶτα.—φ. 72 β. Εἰς τὸ ἅγιον βάπτισμα.

3 (φ. 82 α). **Συνεσίου** Ἐπιστολαί.

4 (φ. 138 α). **Τοῦ αὐτοῦ** Περὶ τοῦ ἐνυπνίου.

5 (φ. 146 α). "**Αἰσώπου** βίος τοῦ μυθοποιοῦ **Μαξίμῳ τῷ Πλανούδῃ** συγγραφείς."

6 (φ. 198 α). Γραμματικοὶ "Κανόνες χρήσιμοι καὶ ἀναγκαῖοι."

7 (φ. 206 α). Θέματα ἐκ τῆς καθωμιλημένης εἰς τὴν ἀρχαίαν.

8 (φ. 251 α). "Ὀνόματα πόλεων κατ' ἀλφάβητον."

Ἀρχ. Ἀσφαλίτης λύμνη μεταξὺ τῶν Μωαβιτῶν καὶ Ἀμωραίων. Τέλ. Χουσαῖοι λέγονται οἱ Αἰθίοπες ἀπὸ τοῦ Χοῦς υἱοῦ Χάμ. Τέλος τῶν τῶν πόλεων ὀνομάτων.

Τὰ ὑπ' ἀρ. 2—5 περιέχουσι τὸ κείμενον μετὰ διαστίχου ἐξηγήσεως.

1016. 151. Χαρτ. 8. XVII (?) (φ. 326).

1 (φ. 1 α). **Συνεσίου** Ἐπιστολαὶ ρνδ΄.

2 (φ. 249 α). **Γρηγορίου τοῦ Θεολόγου Εἰς τοὺς λόγους** καὶ **τὸν ἐξισωτὴν Ἰουλιανόν.**

3 (φ. 277 α). **Τοῦ αὐτοῦ Εἰς τοὺς Μακκαβαίους.**

4 (φ. 307 α). **Τοῦ αὐτοῦ Τετράστιχα.**

Τὰ ὑπ' ἀρ. 1 καὶ 2 περιέχουσι τὸ κείμενον μετὰ διαστίχου ἐξηγήσεως.

1017. 152. Χαρτ. 8. XVIII. (φ. 38).

"Βιβλίον καλούμενον **Ἐπιστολάριον.**"

Ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Χριστοῦ ᾳψν΄ (=1750). Περιέχονται καὶ τύποι τουρκικῶν ὁμολόγων γεγραμμένων διὰ χαρακτήρων ἑλληνικῶν.

1018. 153. Χαρτ. 8. XVIII. (φ. 222).

1 (φ. 1 α). "**Σχόλια εἰς τὸν Λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου Εἰς τὴν ἁγίαν Πεντηκοστήν.**"

2 (φ. 40 β). "**Γρηγορίου τοῦ Θεολόγου Ἐγκώμιον εἰς τὸν μέγαν Ἀθανάσιον.**"

Περιέχεται τὸ κείμενον μετὰ σχολίων ἐναλλὰξ κατὰ χωρία.

3 (φ. 82 α). **Ἐξηγήσεις εἰς Ἐπιστολὰς Φαλάριδος, Βρούτου, Ἰσιδώρου τοῦ Πηλουσιώτου, Γρηγορίου τοῦ Θεολόγου.**

4 (φ. 188 α). Θέματα **ἐκ τῆς καθωμιλημένης εἰς τὴν ἀρχαίαν.**

Τοῦ ὑπ' ἀρ. 1 προτάσσονται αἱ σ. 257—306 ἐντύπου, περιέχοντος Λόγους **Γρηγορίου τοῦ Θεολόγου.**

1019. 154. Χαρτ. 8. XVIII. (φ. 206).

1. "**Τέχνη ῥητορική**"

κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. Ἐν τῇ καθωμιλημένῃ.

2. "**Νόννου Συναγωγὴ καὶ ἐξήγησις**

ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος ἐν τῷ α΄ Στηλιτευτικῷ."

3. "**Εἰς τὴν Χριστοῦ γέννησιν.**" Ἀνάλυσις λόγου.

4. "**Ἐπιτάφιοι λόγοι τίνι μεθόδῳ γίνονται.**"

1020. 155. Χαρτ. 8. XVIII. XVII.

1. **Λεξικὸν ἀνεπίγραφον ἐκ τῆς κοινῆς εἰς τὴν ἀρχαίαν.**

Ἄρχ. Ἀδελφὸς ἀγάστωρ ὁμαίμων δίδυμος ὁμογάστωρ, ὁμοφύλακτος, ὁμογενής.

2. "**Διδασκαλία εἰς τὸ δ΄ περὶ τῶν μορίων.**"

Ἄρχ. Ὁ αὐτοτελὴς κατὰ σύνταξιν λόγος ἐξ ὀνόματος συνέστηκε καὶ ῥήματος.

3. "**Περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ.**"

Ἄρχ. Κείμενον. Καὶ τετραχῶς μὲν ὁ βαρβαρισμός.

1021. 156. Χαρτ. 8. XVIII.

Νομοκάνων

ἐν τῇ καθωμιλημένῃ, κεφ. χιγ΄, ὧν προτάσσεται πίναξ. Κεφ. α΄ "Περὶ κριτοῦ ἤτοι τοῦ ἀρχῆερέως του εἶναι πρὸς πάντας συμπαθεῖς." Κεφ. χιγ΄ "Ἐρώτοισης καὶ ἀπόκρισις θείων **πατέρων** περὶ πίστεως κατὰ Λατίνων." Ἕπεται "Εὐχὴ λεγωμένη παρὰ ἀρχιερέως εἰ ἠερέως προς τους μέλοντας μεταλαβεῖν."

Ἐν τέλει Ετελειῶθη τὼ παρῶν εν ἐτοι ᾳψιβ΄ (=1712) ἐν μεινίῳ Φευρουαρίου κε Θεοῦ τω δώρων καὶ πόνους Χατζοὶ Ἰωάσαφ.

1022. 157. Χαρτ. 8. XVIII. (φ. 255).

6. "Διάταξις τῶν χειροτονιῶν πότε καὶ πῶς γίνεται ἑκάστη."

7. "Περὶ ἐκπλύσεως ἁγίας τραπέζης."

8. **Ἰωάννου τοῦ Χρυσοστόμου**

"Ἐκ τῆς μα′ ὁμιλίας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου περὶ τὸ τέλος αὐτῆς."

9. "Στιχηρὰ ψαλλόμενα εἰς σεισμόν."

10. "Κανὼν παρακλητικὸς εἰς τὸν σεισμόν."

11. "Τακτικὸν συνοπτικὸν...τῆς μεγάλης ἐκκλησίας.

Ἔκθεσις νέα **πατριαρχεύοντος** τοῦ κυροῦ Νείλου γραφεῖσα καὶ ἐκτεθεῖσα κατὰ τὸ ἐξακισχιλιοστὸν ὀκτακοσιοστὸν ἐνενηκοστὸν πέμπτον ἔτος. Ὅπως ὁ πατριάρχης Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς γράφει τῷ Πάπα."

12. "Περὶ τῆς τάξεως τῶν θρόνων τῶν μητροπολιτῶν."

13. "Τάξις προκαθεδρίας τῶν ὑπὸ τὸν ἀποστολικὸν θρόνον Κωνσταντινουπόλεως τελούντων μητροπολιτῶν καὶ τῶν ὑπ' αὐτοὺς ἐπισκόπων."

14. "Ἔκθεσις νέα ὅπως γράφει νῦν ὁ Κωνσταντινουπόλεως πατριάρχης τῷ πάπᾳ Ῥώμης καὶ τοῖς λοιποῖς πατριάρχαις καὶ ἀρχιεπισκόποις μητροπολίταις τε καὶ τοῖς κοσμικὰς ἀρχὰς διϊθύνουσιν."

15. "Ὅσαι ἐπισκοπαὶ ἑκάστῃ μητροπόλει ὑπόκεινται."

Ἀρχ. Τῇ Καισαρείᾳ Καππαδοκίας ὁ Νύσσης.

16. "Αἱ ὑποκείμεναι τῇ ἐκκλησίᾳ Κωνσταντινουπόλεως μητροπόλεις καὶ ἀρχιεπισκοπαί."

17. "Ὅπως προβιβάζεται ἐπίσκοπος εἰς μητροπολίτην."

Ἀρχ. Εἰ μὲν ἡ ἐκκλησία αὐτοῦ τιμᾶται εἰς μητρόπολιν ἐξ ἐπισκοπῆς.

18. "Ἐνταλτήριοι γράμμα εἰς πνευματικόν."

19. "Τοῦ πατριάρχου **Μιχαὴλ τοῦ Αὐτορειανοῦ** Ἀφέσιμον πρός τινα."

Ἀρχ. Ὁ Θεὸς ὁ ἅγιος, ἡ τοῦ ἐλέους πηγὴ καὶ τῆς ἀγαθότητος ἄβυσσος.

20. "**Τοῦ αὐτοῦ πατριάρχου** Λύσις ἀφορισμοῦ προσγεγονότος ἐπί τινα καὶ τελευτήσαντα οὕτως."

Ἀρχ. Ὁ Θεὸς ὁ ἅγιος καὶ ποιητὴς τοῦ παντός.

21. "Τίνος χάριν ἀπὸ τοῦ Ὀκτωβρίου μηνὸς ἄρχονται οἱ κύκλοι τοῦ ἡλίου."

22. "Περὶ τοῦ τῆς σελήνης κύκλου."

23. "Περὶ τοῦ Πάσχα ἀπὸ τοῦ **κῦρ Ματθαίου** [**Βλαστάρεως** ;] τῆς δευτέρας."

Ἀρχ. Ἐν τοῖς χρόνοις Ναβουνουσάρου περὶ λῆξιν ἑσπέραν.

24. "Περὶ τοῦ διατὶ μέχρι τῶν ιθ′ οἱ τῆς σελήνης ἀναβιβάζονται κύκλοι."

25. "Περὶ τοῦ πότε ἄρχεται ὁ τῆς σελήνης κύκλος καὶ ὁ θεμέλιος αὐτῆς."

26. "Περὶ βιβλίων τῆς θείας Γραφῆς γνησίων καὶ νόθων."

Ἀρχ. Ὀγδοηκοστὸς πέμπτος κανὼν τῶν ἁγίων Ἀποστόλων ταυτί φησι τὰ βιβλία διαφερόντως πρεσβεύειν χρή.

27. "Περὶ τῆς τελευτῆς Νῶε καὶ περὶ τῆς γενεαλογίας τῶν υἱῶν Νῶε ἐκ τῆς θείας Γραφῆς."

28. "Περὶ τῆς οἰκοδομηθείσης πόλεως καὶ τοῦ πύργου."

29. "Περὶ τῆς γενεαλογίας ἀπὸ τοῦ Σὴμ ἕως Ἀβραάμ."

30. "Τοῦ λογιωτάτου καὶ σοφωτάτου Φιλῆ Μετάφρασις τῶν οἴκων τῆς ὑπεραγίας Θεοτόκου."

31. **Γρηγορίου Νύσσης** "Ἐκ τοῦ λόγου τοῦ ἐπιγραφομένου τὰ Μακρίνια."

32. **Ἰωάννου τοῦ Χρυσοστόμου** Ἀπόσπασμα

"ἐν τῷ Ἠθικῷ τῆς μζ' ὁμιλίας τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου."

33. "Εἰς τοὺς αἴνους στιχηρὰ ἦχ. δ'."

34 (φ. 156 α). "Κανὼν περὶ ὑπομονῆς καὶ εὐχαριστίας

οὗ ἡ ἀκροστιχὶς Ψυχῇ τὰ δεινὰ μὴ λυποῦ παρατρέχειν **Μάζαρι**."

Ἀρχ. Ὠδὴ α' ἦχ. πλ. δ' Ἁρματηλάτην Φαραώ.

Ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς τῷ κτίστει σου ἐν περιστάσει τινὶ ἀνιαθεῖσά πως ἐκ καρδίας ᾄδουσα ψυχή μου μεταβίβασον πρὸς χαράν σου τὴν λύπην πνευματικῶς καὶ κουφίσθητι· λύπης γὰρ Θεὸς παραμύθιον. Τέλ. Συνετωτέρως παντάναξ· σοὶ τὸ ἐφύμνιον ᾄδω· καὶ τὴν εὐχὴν ἐκπληρῶ σοι· καὶ ἐντολὴν τῷ δεσπότῃ· ὧν δὲ λοιπὸν χρείαν ἔχω σὺ προύξεπίστασαι πάτερ.

35 (φ. 160 α). [**Τοῦ αὐτοῦ**] "Οἶκοι κατὰ ἀλφάβητον

πρὸς τὸ Ἄγγελος πρωτοστάτης."

Ἀρχ. Ἄνθρωπον ὡς ἀδάμαντ' ἄλλον λίθον δεῖ εἶναι ἐν ἅπαντι τῷ παρόντι βίῳ καὶ σὺν στερρότητι λογισμοῦ τὰ συμβαίνοντά οἱ παρ' ἐλπίδ' ἄδοξα προθύμως ὑποδέχεσθαι. Τέλ. Ὦ μεσίτρια κόσμου δέσποινα Θεοτόκε ...ὅτι ἀεὶ πρεσβεύειν οὐ πέπαυσαι· ὅτι παντὶ μεσίτης γεγένησαι· ὅτι εἰς σὲ τίθεμεν τὰς ἐλπίδας· ὅτι ἐν σοὶ καὶ σωθῆναι θαρροῦμεν· εὐχαρίστως διάγοντες.

Οἱ ὑπ' ἀρ. 34 καὶ 35 Κανόνες τοῦ **Μάζαρι** εἰσὶν ἀντίγραφα νεώτερα τῶν αὐτῶν κανόνων (ἀρ. 36 καὶ 37), γεγραμμένων καθ' ὃν χρόνον καὶ ὁ λοιπὸς κῶδιξ τὸν XV αἰῶνα. Τὰ δ' ἀντίγραφα ἐγένοντο τὸν XVII αἰῶνα, διὸ ἐν τέλει τοῦ ὑπ' ἀρ. 35 γέγραπται· αχξδ' (=1664).

36. "Κανὼν περὶ ὑπομονῆς καὶ εὐχαριστίας..."

Ἰδ. ἀρ. 34.

37. "Οἶκοι κατὰ ἀλφάβητον..."

Ἰδ. ἀρ. 35.

38. Χρονικὸν ἀνεπίγραφον βραχύτατον.

Ἀρχ. Τὴν Κωνσταντινούπολιν παρέλαβον οἱ Λατῖνοι κατὰ τὸ ,ϛψιβ'ον ἔτος Ἀπριλίου ιδ' ὥρα δευτέρᾳ κρατήσαντες αὐτὴν ἐπὶ χρόνους νη'. Τέλ. κατὰ τὸν Ἰούνιον μῆνα τοῦ ,ϛ ϡ^η μγ' ἔτους ἀπέστειλεν ὁ υἱὸς αὐτοῦ ὁ δεσπότης τοῦ Μορέως κῦρ Θεόδωρος ἀξιόλογόν τι πρᾶγμα χρυσοκλαδαρικὸν τὰς στήλας τοῦ τε βασιλέως τοῦ πατρὸς αὐτοῦ καὶ τῆς δεσποίνης τῆς μητρὸς αὐτοῦ, ἃς καὶ ἔστησαν πλησίον τοῦ τάφου τοῦ βασιλέως. Λέγεται ὅτι ἐξοδιάσθησαν εἰς κατασκευὴν αὐτῶν (=νομίσματα) ,δ'.

3754. 220. Χαρτ. 8. XVII.

1. "Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

Συμεὼν τοῦ νέου θεολόγου, ἡγουμένου χρηματίσαντος μονῆς τοῦ ἁγίου Μάμαντος τῆς Ξυλοκέρκου."

Ἀρχ. Χρῆμα θερμὸν ἀρετὴ καὶ δεινὸν μὲν ἐμφυσῆσαι τοῦ πόθου τοὺς ἄνθρακας.

2. **Συμεὼν τοῦ νέου θεολόγου λόγοι νζ'.**

α'. "Περὶ ἀγάπης καὶ ποῖαι εἰσὶ τῶν πνευματικῶν ἀνδρῶν αἱ ὁδοὶ καὶ πράξεις καὶ μακαρισμὸς πρὸς τοὺς ἔχοντας τὴν ἀγάπην ἐγκάρδιον."—β'. "**Τοῦ αὐτοῦ** Περὶ τοῦ φεύγειν τοὺς λοιμοὺς καὶ φθοροποιοὺς τῶν ἀνθρώπων καὶ τοὺς λόγους αὐτῶν ἀποπέμπεσθαι καὶ πρὸς τὴν ἐργασίαν τῆς ἀρετῆς ἀναστῆναι ἔτι δὲ καὶ περὶ τοῦ δεῖν σκοπεῖν εἰ τὰ τῶν μακαρισμῶν τοῦ Ἰησοῦ Χριστοῦ ἐν ἑαυτοῖς ἔχωμεν καὶ περὶ δακρύων καὶ κατανύξεως Λόγος βος."—...νς'. "**Τοῦ αὐτοῦ** Περὶ τοῦ μὴ δεῖν λέγειν ὅτι ἀδύνατον νῦν εἰς ἄκρον ἐλθεῖν ἀρετῆς τὸν βουλόμενον καὶ τοῖς πάλαι ἀμιλληθῆναι ἁγίοις καὶ ὅτι πᾶς ὁ τὰ ἐναντία διδάσκων τῶν θείων γραφῶν νέαν αἵρεσιν τοῖς πειθομένοις αὐτῷ δογματίζει καὶ περὶ δακρύων, ὅτι ἐκ φύσεως ἡμῖν τὰ δάκρυα πρόσεστι Λόγος νς'."—νζ'. "**Τοῦ αὐτοῦ** Ὅτι δεῖ τὸν Χριστιανὸν γενναίως καὶ μακροθύμως ὑποφέρειν πάντων τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν τὰς ἐπιφορὰς Λόγος νζ'."

3. "**Τοῦ αὐτοῦ Ἐκ τῶν θείων ὕμνων Λόγος α'.**"

Ἀρχ.

Ἄφες κόσμον ἅπαντα καὶ τοῖς ἐν κόσμῳ
μόνον προλαβοῦ τὸ μακάριον πένθος.

Ἔπονται Ποιήματα διάφορα ἐκ διαφόρων Λόγων ἐν ποικίλοις μέτροις, τινὰ μὲν ἐν ἀρχαΐζουσιν ἰαμβικοῖς τριμέτροις, ἄλλα δ' ἐν πολιτικοῖς στίχοις καὶ ἄλλα ἐν τονικοῖς τροχαϊκοῖς μέτροις, οἷον·

Πῶς ὑμνήσω, πῶς δοξάσω, πῶς ἀξίως εὐφημήσω
τὸν πολλὰ παραδραμόντα ἁμαρτήματα Θεόν μου.

Ἐν τέλει Πίναξ τῶν λόγων.

3755. 221. Χαρτ. 8. XVII.

Ἰωάννου Νάγγοε βοεβόδα καὶ αὐτοκράτορος Οὐγγροβλαχίας Λόγοι.

α'. "**Τοῦ** ἐκλαμπροτάτου καὶ εὐσεβεστάτου αὐθέντου **Ἰωάννου Νάγγοε** μεγάλου βοεβόδα καὶ αὐτοκράτορος μεγάλης Οὐγγροβλαχίας Λόγος διδακτικὸς περὶ ἀγάπης Θεοῦ πρὸς τὸν ἠγαπημένον αὐτοῦ υἱὸν Θεοδόσιον καὶ πρὸς ἑτέρους αὐθέντας καὶ ἄρχοντας πατριάρχας τέ καὶ ἀρχιεπισκόπους καὶ πλουσίους καὶ πένητας." Ἀρχ. Λέγει μὲν ἡ θεία Γραφὴ Δίδου σοφῷ ἀφορμὴ καὶ σοφώτερος ἔσται.—β'. "Διδασκαλία ἑτέρα πρὸς τὸν ἠγαπημένον υἱὸν αὐτοῦ Θεοδόσιον καὶ παροιμία ψυχωφελὴς περὶ ἐλεημοσύνης καὶ περὶ τοῦ βίου τοῦ ματαίου κόσμου τούτου." Ἀρχ. Ὑπόθες μοι πάλιν τὰς ἀκοάς μου προσεχῶς υἱὲ Θεοδόσιε καὶ ἄκουσον.—γ'. "Ἐπιστολὴ πρὸς τὰ λείψανα τῆς μητρὸς αὐτοῦ Νεάγγας καὶ τῶν υἱῶν αὐτοῦ Πέτρου καὶ Ἰωάννου καὶ τῆς θυγατρὸς αὐτοῦ Ἀγγελίνας καὶ Λόγος θρηνητικὸς περὶ αὐτῶν." Ἀρχ. Ἐκ τῆς θείας χάριτος πάτερ ἀγαθὲ καὶ διδάσκαλε καὶ ἐνώπιον ἡμῶν λίαν ἠγαπημένε.—δ'—ια'. Ἕτεραι ὁκτὼ Διδαχαὶ καὶ παραινέσεις τοῦ αὐτοῦ πρὸς τὸν υἱὸν Θεοδόσιον καὶ τοὺς λοιποὺς ἄρχοντας.—ιβ'. "Προσευχὴ τοῦ ἐκλαμπροτάτου καὶ εὐσεβεστάτου αὐθέντου **Ἰωάννου Νάγγοε** βοεβόδα καὶ αὐτοκράτορος μεγάλης Οὐγγροβλαχίας πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὴν ἔξοδον τῆς ψυχῆς." Ἀρχ. Ἐλέησόν με Ἰησοῦ Χριστὲ γλυκύτατε Θεέ μου ἐλέησόν με ὅτι σὺ εἶ ἡ ἀνάστασις καὶ ἡ ζωή.

3756. 222. Χαρτ. 8. XVI.

"Βιβλίον πρῶτον τῆς Ἑξαημέρου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου τοῦ Χρυσοστόμου.**" Ὁμιλίαι λ'.

3757. 223. Χαρτ. 8. XVII. (φ. 341).

1 (φ. 1 α). "Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐπραξίας

μεταφρασθεὶς εἰς τὴν κοινὴν γλῶτταν παρὰ **Ἰγνατίου ἱερομονάχου.**"

2 (φ. 71 α). "Περὶ τοῦ ἀδελφοῦ οὗ ἡ δελφὴ ἦν πόρνη καὶ πῶς μετενόησεν."

Ἄρχ. Ἀδελφὸς τὶς ἐκάθητο εἰς κελλίον τῆς Αἰγύπτου ἐν πολλῇ ταπεινώσει.

3 (φ. 73 α). **Ἰωάννου τοῦ Χρυσοστόμου.**

Ἄρχ. Ὅσοι τὰ τοῦ βίου μάταια καὶ ἀπολλύμενα πράγματα κατελίπετε.

4 (φ. 79 α). Βίος καὶ πολιτεία Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

5 (φ. 89 α). Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου.

6 (φ. 101 β). Βίος καὶ πολιτεία ὁσίου Ξενοφῶντος.

7 (φ. 118 β). "Μαρτύριον τῆς ἁγίας καὶ καλλινίκου μεγαλομάρτυρος τοῦ Χριστοῦ Εἰρήνης."

Ἄρχ. Κατὰ τοὺς προλαβόντας χρόνους γέγονέ τις βασιλεὺς ὀνόματι Λικίνιος. Μένει ἀτελὴς ἐν ταῖς λέξεσι· καὶ κύκλοθεν τοῦ πύργου τεθεῖναι τεῖχος...

8 (φ. 119 α). "Διήγησις περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ὄφεως."

9 (φ. 127 α). Μαρτύριον ἁγίου Παντελεήμονος.

10 (φ. 162 β). "Διήγησις πάνυ ὠφέλιμος **Μακαρίου μοναχοῦ τοῦ Αἰγυπτίου.**"

Ἄρχ. Πορευόμενος ποτὲ τὶς τῶν ἁγίων πατέρων.

11 (φ. 171 α). Μαρτύριον τῆς ἁγίας Ἀναστασίας.

12 (φ. 178 β). Μαρτύριον ἁγίου Χαραλάμπους

"μεταγλωττισθεὶς παρὰ **Δανιὴλ ἱερομονάχου** ἐκ τῆς τῶν Ἰβήρων μονῆς."

Ἄρχ. Συνήθειαν ἔχουσιν οἱ ἄριστοι τῶν ἰατρῶν, χρησιμώτατοί μου ἀκροαταί, ὅταν θέλουσι διὰ νὰ ἰατρεύσουν.

13 (φ. 202 β). Μαρτύριον ἁγίας Αἰκατερίνης.

14 (φ. 222 β). Βίος καὶ πολιτεία Μακαρίου τοῦ Ῥωμαίου.

15 (φ. 239 α). "Βίος καὶ πολιτεία τοῦ ἁγίου καὶ δικαίου Φιλαρέτου τοῦ Ἐλεήμονος τοῦ νέου Ἰὼβ χρηματίσαντος τοῦ γενομένου πάππου Μαρίας τῆς βασιλίσσης, συζύγου Κωνσταντίνου τοῦ βασιλέως."

16 (φ. 257 β). Βίος καὶ πολιτεία Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

17 (φ. 266 α). "Θαῦμα γενόμενον ἐν τῇ εἰκόνι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τοῖς Χαλκοπρατείοις."

Ἄρχ. Ἐν Κωνσταντινουπόλει φαρμακός τις πονηρότατος πάνυ ὁ λεγόμενος μεσίτης.

18 (φ. 267 β). "Περὶ τοῦ ἀδελφοῦ τοῦ εἰς πορνείαν πολεμουμένου."

19 (φ. 269 α). "Διήγησις θαυμαστὴ περὶ τοῦ ταξεώτου."

Ἄρχ. Ἐν τοῖς χρόνοις Νικήτα πατρικίου ἐν Καρταγένῃ τῆς Ἀφρικῆς.

20 (φ. 271 β). "Περὶ κρίσεως καὶ τόπων καὶ κολαστικῶν."

Ἄρχ. "Ὁ ἅγιος ἱερομάρτυς οὗτος πατρίκιος ἔφη."

21 (φ. 272 β). "Διήγησις περί τινος γέροντος σημειοφόρου μοναχοῦ πῶς ἀπεκαλύφθη αὐτῷ τὰ περὶ τοῦ βασιλέως Θεοδοσίου."

Ἄρχ. Γέρων τις ἐκαθέζετο ἐν τῇ ἐρήμῳ.

22 (φ. 277 α). "Παραίνεσις πρὸς τοὺς θέλοντας σωθῆναι μοναχοὺς ὡς ἐν συνόπτῳ τοῦ ἐπισκόπου ἐλαχίστου **Δαμασκηνοῦ Λιτῆς καὶ Ῥενδίνης** καὶ προέδρου Πολιανῆς."

Ἄρχ. Ἀδελφοὶ καὶ πατέρες ἐπειδὴ τὸν κόσμον ἀφήσαμεν.

23 (φ. 285 α). "Ἐκ τῶν τοῦ μεγάλου πατρὸς ἡμῶν **Βασιλείου Καισαρείας** Ἀσκητικῶν περὶ πῶς ὀφείλει διάγειν ἐν κοινοβίῳ καὶ ὅπως λέγονται κοινοβιάται, θαυμαστόν."

24 (φ. 287 α). "Κανὼν τῆς Χριστοῦ γεννήσεως, ποίημα **Κοσμᾶ μοναχοῦ**, οὗ ἡ ἀκροστιχὶς Χριστὸς βροντωθεὶς ἦν ὅπερ Θεὸς μένει."

25 (φ. 296 β). "Ἕτερος κανὼν ἰάβιτικὸς φέρων ἀκροστιχίδα τήνδε δια στίχων ἡρωϊκῶν Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει."

26 (φ. 315 β). "Ἕτερος κανὼν ἰαμβικὸς τοῦ ἁγίου **Ἰωάννου τοῦ Δαμασκηνοῦ**, οὗ ἡ ἀκροστιχὶς διὰ στίχων ἡρωελεγείων Σήμερον ἀχράντοιο βαλὼν θεοφθογγέϊ πυρσῷ."

27 (φ. 325 α). "Κανὼν τοῦ ἁγίου **Κοσμᾶ** εἰς τὴν ἁγίαν Πεντηκοστὴν, οὗ ἡ ἀρχὴ Πεντηκοστὴν ἑορτάζομεν."

28 (φ. 330 α). "Ἕτερος κανὼν ἰαμβικὸς εἰς τὴν Πεντηκοστήν... Ἡ ἀκροστιχὶς Θειογενὲς λόγε πνεῦμα παράκλητον πάλιν ἄλλον."

Ἐν τοῖς ὑπ' ἀρ. 24—28 Κανόσιν ἔπεται εἰς ἑκάστου τροπαρίου τὸ κείμενον ἑκάστοτε ἡ Σύνταξις τοῦ κειμένου.

Τὰ ὑπ' ἀρ. 1, 4—6, 9, 12—15, 22 ἐν τῇ καθωμιλημένῃ.

3758. 224. Χαρτ. 8. XVI. (σ. 1360).

1 (σ. 1). "Προοίμιον."

2 (σ. 1). "Πίναξ ἀκριβὴς τῆς παρούσης πικτῦδος."

3 (σ. 2). "Πίναξ ἀκριβὴς τῆς δευτέρας πικτῦδος."

Ἐν τέλει· Ἔτος ἀπὸ κτίσεως κόσμου ,ζξη', τὸ δὲ ἀπὸ Χριστοῦ ,αφξ' ἰνδ. γ$^{\eta\varsigma}$. Ἰδοὺ σημείωσαι καὶ τὸν ἐμπρησμὸν τοῦ μοναστηρίου διὰ τὸ ἀμφίγνομον ὅτι οἱ μὲν λέγουσι φιλονείκως ἐν τῷδε τῷ ἔτει, οἱ δὲ τῷδε. Διὰ τοῦτο οὖν γινώσκετε πάντες τὴν ἀλήθειαν ὅτι ὁ ἐμπρισμὸς ἐγένετο ἐν μηνὶ Ὀκτωβρίῳ κε' ἡμέρᾳ Κυριακῇ ἔτος ,ζμη$^{\omega}$. Ἐγὼ δὲ ἐχειροτονήθην πρεσβύτερος ἐν τῷ ζμα' ἔτει μηνὸς Ἰουνίου κδ$^{\eta}$ ἤτοι τὸ γεννέσιον τοῦ Προδρόμου.

4 (σ. 3). **Συμεὼν Θεσσαλονίκης.**

α' (σ. 3) Θεολογικαὶ πραγματεῖαι (ἀκέφ.). *Ἄρχ...τοῦ πνεύματος ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς καὶ ὁ Ἡσαΐας περὶ τούτου ὥσπερ ἀπ' αὐτοῦ φησὶ τοῦ Χριστοῦ. Τέλ. καὶ ἐνταῦθα δὲ εἰς τύπον τῆς θείας ὡς εἰρήκαμεν ἐλεημοσύνης εἰς ἡμᾶς καὶ συμπαθείας τοῦτο τὸ ἔλαιον ἐπισπώμεθα.* Ἐμπεριέχονται τὰ κεφάλαια Περὶ ἱερουργίας, Περὶ χειροτονίας, Περὶ γάμου, Περὶ παρθενίας, Περὶ μετανοίας καὶ ἐξαγορεύσεως, Περὶ τοῦ δεσμεῖν καὶ λύειν, Περὶ τοῦ ἁγίου ἐλαίου ἤτοι τοῦ εὐχελαίου.—β'. (σ. 11). "Ἑρμηνεία πονηθεῖσα τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ **Θεσσαλονίκης** κῦρ **Συμεὼν** περὶ τοῦ θείου ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερέων τὲ καὶ διακόνων ἀρχιερέων τὲ καὶ τῶν ὧν ἕκαστος τούτων στολῶν ἱερῶν περι-

βάλλεται, οὐ μὴν ἀλλὰ καὶ περὶ τῆς θείας μυσταγωγίας λόγον ἑκάστῳ διδοῦσα τῶν ἐν αὐτῇ μοναχοῖς θείοις(;)καὶ τοῖς ἐν Κρήτῃ εὐσεβέσι ζητήσασιν ἀποσταλεῖσα."—γ΄ (σ. 33) "Περὶ τοῦ ἱεροσολυμιτικοῦ τυπικοῦ." Ἀρχ. Πάσαις σχεδὸν ταῖς μοναῖς καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις ἡ τοῦ ἀπὸ τῶν Ἱεροσολύμων τυπικοῦ τῆς μονῆς τοῦ ἁγίου Σάββα τελεῖται τάξις.—δ΄ (σ. 60). "Περὶ τοῦ τέλους καὶ τῆς ἱερᾶς τάξεως τῆς κηδίας καὶ τῶν κατ ἔθος ὑπὲρ μνήμης γινομένων."—ε΄ (σ. 70). "Περιεκτικὰ ὡς δυνατὸν τῆς μόνης τῶν Χριστιανῶν ἡμῶν πίστεως κεφάλαια ιβ΄ ἅπερ τινὲς ἄρθρα καλοῦσι τῆς πίστεως σαφέστερον συντεθέντα παρὰ τοῦ ταπεινοῦ ἀρχιεπισκόπου **Θεσσαλονίκης** κυρ **Συμεὼν** διότι ταῦτα προέχει τὸ θεῖον σύμβολον καὶ περιεκτικῶν ἀρετῶν."—ς΄ (σ. 74). "Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου **Θεσσαλονίκης** κυροῦ **Συμεὼν** Ἀποκρίσεις πρὸς ἐρωτήσεις τοῦ ἱ-ρωτάτου μητροπολίτου Πενταπόλεως κιρροῦ Γαυριήλ." Ἐρωτήσεις πε΄, ὧν α΄ "Τίνι τρόπῳ φαίνεται πολλάκις ὡς ἄνθρωπος ὁ ἄγγελος," πε΄ "Περὶ λήθης τοῦ ἱερέως τοῦ μὴ ἕνωσιν γενέσθαι σινέβη καὶ καλύψει κενὸν τὸ ποτήριον."

5 (σ. 123). "Περὶ ἐξαγορεύσεως **Σωφρονίου Ἱεροσολύμων**."

Ἀρχ. Πολλοὶ τρόποι τῶν ἐξαγγελόντων εἰσίν.

6 (σ. 124). "Νομοκάνων σὺν Θεῷ ἁγίῳ."

α΄. Ἀρχ. Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων ὀφείλει εἶναι τύπος ἀγαθός.—β΄ (σ. 130). "**Συνοδικοὶ** καὶ **ἀποστολικοὶ** κανόνες καὶ **τοῦ μεγάλου Βασιλείου**." Κεφ. σλ΄ βραχέα.—γ΄ (σ. 171). "Ἐκ τοῦ κανονικοῦ τοῦ ἁγίου **Ἰωάννου τοῦ Νηστευτοῦ** ἤμειψε ταυτὶ πρὸς σύνοψιν **Ματθαῖος** [**ὁ Βλαστάρης**]."—δ΄ (σ. 177). "Ἔκθεσις ἁπλουστέρα καὶ συντομωτέρα τῶν γαμικῶν συναλλαγμάτων, συντεθεῖσα παρὰ τοῦ λογιωτάτου μεγάλου χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας ἐπὶ ἔτους τῶν τρεχόντων ἑπτακισχιλιοστῷ τριακοστῷ ἑβδόμῳ. Ἐγένετω δὲ κατὰ τοῦτον τὸν τρόπον." Ἀρχ. Ἐπειδὴ οἱ πρὸ ἡμῶν περὶ τῶν τοιούτων συγγεγραφότες διὰ τὸ ἀμφίγνωμον αὐτῶν ἀσαφῆ τὰ τοιαῦτα.

Ἐν τέλει· Ἐτελειώθη τὸ παρὸν νομοκάνονον παρὰ εὐτελοῦς Κλήμεντος, ἔτος δὲ ἀπὸ κτίσεως κόσμου ζξη΄ (=1560).

7 (σ. 185). "Ἀπὸ τὸ μέγα νομοκάνονον τὸ ἐξηγημένον συντάγματα τινά."

Ἀρχ. Ἀπὸ τὰ κεφάλαια τῶν ἁγίων Ἀποστόλων **Ζωναρᾶ**. Κεφ. α΄. Ἐπίσκοπος χειροτονείσθω ὑπὸ ἐπισκόπων δύο ἢ τριῶν. Ἑρμην. Νῦν μὲν χειροτονία καλεῖται ἡ τῆς καθιερώσεως τοῦ ἱεράσθαι λαχόντος τελεσιουργία τῶν εὐχῶν.

8 (σ. 197). **Ἀναστασίου τοῦ Σιναΐτου**

"Ἀποκρίσεις πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων Χριστιανῶν ὀρθοδόξων." Ἐρωτήσεις ρμγ΄, ὧν α΄ "Τί ἐστι τὸ σημεῖον τοῦ τελείου Χριστιανοῦ," ρμγ΄ "Εἰ μολύνεται ὁ ὀρθὰ φρονῶν, μνημονεύων δὲ τοῦ αἱρετίζοντος."

Ἐν τέλει· Τέλος ἔλαβον αἱ ἐρωταποκρίσεις παρ' ἐμοῦ Κλήμεντος ταπεινοῦ ῥακενδύτου ἐν μηνὶ Ἰουλίῳ ἔτος ,ζξεῳ (=1557).

9 (σ. 351). "Ἐπιστολὴ **Ἀντιόχου μοναχοῦ**

τῆς παλαιᾶς λαύρας τοῦ ἀββᾶ Σάββα πρὸς Εὐστάθιον ἡγούμενον μονῆς Ἀτταλικῆς πόλεως Ἀγκύρας τῆς Γαλατείας." Κεφάλαια ρλ΄.

Ἐν τέλει· Τέλος καὶ τῷ Θεῷ δόξα, ἔτος δὲ τοῦ τρέχοντος ἀπὸ κτίσεως κόσμου, ἀπὸ κτίσεως ,ζξεῳ ἰνδ. ιεης κόσμου, ἀπὸ φφνζ΄ Χριστοῦ δέ (=1557).

10 (σ. 455). "Ἀποφθέγματα ἐκ διαφόρων βιβλίων ἐκ τοῦ **Εὐαγγελίου, Ἀποστόλων** τε καὶ **προφητῶν** καὶ ἐξ **ἑτέρων ἁγίων** ἐκ βιβλίων ἐκκλησιαστικῶν."

Κεφ. ογ΄, ὧν α΄ "Περὶ ἀρετῆς καὶ κακίας."—β΄. "Περὶ φρονήσεως καὶ βουλῆς."—γ΄. "Περὶ ἁγνείας καὶ σωφροσύνης."—...ξθ΄. "Περὶ τοῦ ὅτι εὔκολος ἡ κακία καὶ δυσπόριστος ἡ ἀρετή."—ο΄. "Περὶ φιλαυτίας."—οα΄. "Περὶ τοῦ οὐκ ἀεὶ τὸ πλεῖον ἄριστον."—οβ΄. "Περὶ κρειττόνων ὅτι οὐ δεῖ μετ' αὐτῶν διαμάχεσθαι."—ογ΄. "Περὶ καταλαλιᾶς."

Ἐν ἑκάστῳ κεφαλαίῳ εὑρηνται τεταγμένα πάντοτε τἀποφθέγματα κατὰ τὴν ἐξῆς σειράν· **Τοῦ Εὐαγγελίου, τοῦ Ἀποστόλου, Σολομῶντος, Σιρὰχ, Βασιλείου** [**τοῦ μεγάλου**]. [**Γρηγορίου**] **τοῦ Θεολόγου**. [**Ἰωάννου**] **τοῦ Χρυσοστόμου**. εἶτα δ΄ ἑπονται κατὰ ποικίλην τάξιν ἄλλα ἐκ συγγραφέων ἐκκλησιαστικῶν ἢ τῶν θύραθεν.

11 (σ. 491). Παράδεισος **τῶν γερόντων**.

α΄ (σ. 491). "Πρόλογος περὶ βίου καὶ ἀσκήσεως τῶν ἁγίων πατέρων." Ἀρχ. Ὁ ὢν ἐν ἀρχῇ πρὸς Θεὸν Θεὸς λόγος. Ἕπονται "Διηγήσεις καὶ παραινέσεις ἁγίων πατέρων" εἰς λόγους κ΄, ὧν α΄ "Παραινέσεις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος," β΄ "ὅτι δεῖ τὴν ἡσυχίαν πάσῃ σπουδῇ μεταδιώκειν."...ιθ΄. "Περὶ ἀναχωρητῶν," κ΄ "Περὶ ἐναρέτου πολιτείας."

Ἐπὶ τούτοις (σ. 611) "Περὶ τοῦ Εὐφροσύνου τοῦ μαγείρου," (σ. 612) "Τοῦ **ἀββᾶ Μωϋσῆ** κεφάλαια β΄."

12 (σ. 613). "**Ἰωάννου** μοναχοῦ τοῦ **Εὐκρατᾶ**

Ἐκ τῶν πνευματικῶν λειμόνων κεφάλαια ρκθ΄."

Ἀρχ. Γέρων τις ἦν ἐν τῇ μονῇ τοῦ ἀββᾶ Εὐστοργίου ὀνόματι Ἰωάννης.

13 (σ. 621). "Περὶ τοῦ μὴ ἔχειν αἱ μονάζουσαι προάστεια, **τοῦ ἀββᾶ Βισαρίωνος**."

14 (σ. 623). "Λόγος ἀπὸ τὸ βιβλίον τὸ λεγόμενον

Παράδεισον εἴ τις εἶχε τοὺς βίους τῶν ἁγίων πατέρων ὧν ὁ συγγραφεὺς **Παλλάδιος ἐπίσκοπος** περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν καὶ τῶν Βραγμάνων."

Ἀρχ. Ἡ πολλὴ φιλοπονία σου καὶ φιλομαθία καὶ φιλικοία.

15 (σ. 626). "Ἐκ τῆς ἑρμηνείας τῆς **Κλίμακος**"

[**Ἰωάννου τοῦ Σχολαστικοῦ**], καὶ **Νείλου τοῦ ὁσίου** "Περὶ τῶν ὀκτὼ λογισμῶν."

Ἀρχ. Ὀκτὼ τοὺς τῆς κακίας λογισμοὺς πρωτεύοντας.

16 (σ. 635). "**Συναγωγὴ** λέξεων συλλεγεῖσα

ἐκ διαφόρων βιβλίων τῆς παλαιᾶς τέ φημι Γραφῆς καὶ τῆς νέας καὶ αὐτῆς δήπου τῆς θύραθεν."

Ἀρχ. Ἀρχὴ τοῦ α΄ μετὰ τοῦ α΄ ἀρσενικοῦ. **Ἄαπτος** ὁ ἀπροσπέλαστος δ οὐκ ἄν τις ἅψετο ἵν' ᾖ ἀπρόσιτον. **Ἄαπτος** ἀβλαβής. Οὐδέτερον **Ἀαγὲς** ἄθραυστον. Τέλ. Τὸ Ω μετὰ του Ψ. **Ὤψ** ὀφθαλμός. Ὤψ παρὰ τὸ ὄπτω τὸ βλέπω, σημαίνει δὲ τρία, δύο διὰ τοῦ Ω μεγάλου τὸ πρόσωπον καὶ τὸν ὀφθαλμὸν, σημαίνει καὶ τὴν φωνὴν διὰ τοῦ Ο μικροῦ. **Ὠψιζόμην** ὀψὲ ἐποίουν, βράδιον ἠρχόμην. Ὠψά τὰ ὀπτητήρια. **Ὤψουν** ἐμαγείρευον, ὤπτουν.

Τέλος τοῦ Ω μεγάλου στοιχείου καὶ πάσης τῆς βίβλου, ἔτος δὲ ἀπὸ κτίσεως κόσμου ,ζξεῳ (=1558).

17 (σ. 759). "Λεξικὸν ἕτερον κατὰ στοιχείων

τὰ ἐλίποντα τοῦ πρώτου λεξικοῦ ἀναπληροῦντα ὧδε."

Ἄρχ. **Ἀβρότονον** εἶδος βοτάνης θαμνώδους, ἔστι δὲ πικρότατον. **Ἀβρύνομαι** καυχῶμαι, κοσμοῦμαι. Τέλ. παραπλησίως δὲ καὶ ἡ Πλειὰς ὀνομάζεται ὑπὸ τῆς Γραφῆς, φαίνονται δὲ καὶ ἐν τῇ Πλειάδι ἑπτὰ ἀστέρες συνεχεῖς καὶ καταπεπυκνωμένοι πρὸς ἀλλήλους, οὐχὶ δὲ ἕξ, ὅπερ τινὲς οἴονται.

18 (σ. 773). "**Λέξεις εἰς τὴν τῶν Ἑβραίων φωνήν.**"

Ἄρχ. **Τὸ ἦλ Θεὸς, τὸ ἐλωὲ Θεὸς ἀεί.**

19 (σ. 773). "**Ἡ ὀνοματοποιΐα τῆς τοῦ ἀνθρώπου θέσεως.**"

Ἄρχ. Τὸ ἀπαλὸν βρέγμα τὸ ἀνώτερον.

20 (σ. 774). "**Ἐκ τοῦ Ψαλτῆρος χρειαζόμενα τινὰ συνάματα.**"

Ἄρχ. **Τοῦ μεγάλου Βασιλείου** Εἰς τὸν πρῶτον ψαλμόν. Καθάπερ οἱ οἰκοδόμοι κατὰ τὸ ὕψος τοῦ τείχους καταβάλλουσι καὶ τὸν θεμέλιον. Τέλ. τέλος τούτων καὶ τῷ Θεῷ ἡμῶν δόξα καὶ τέλος· ἔτος ἀπὸ κτίσεως κόσμου ζοῳ̈ (=1562).

21 (σ. 779). "**Συνάγματα ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.**"

Ἄρχ. Εὐαγγέλιον οἱ Εὐαγγελισταὶ τὴν διήγησιν ὠνόμασαν.

22 (σ. 795). "**Ἑρμηνεία τοῦ κατὰ Μάρκον εὐαγγελίου Συνάγματα μερικά.**"

Ἄρχ. Εὐαγγέλιον νῦν ὁ Μάρκος τὴν καινὴν Διαθήκην τὴν νέαν νομοθεσίαν τοῦ Χριστοῦ κέκληκε.

23 (σ. 796). "**Ἑρμηνεία τοῦ κατὰ Λουκᾶν εὐαγγελίου Μερικὰ συνάγματα.**"

Ἄρχ. Ἀνατάξασθαι διήγησιν, ἀναγράψασθαι διήγησιν ἤγουν εὐαγγέλιον.

24 (σ. 801). "**Ἑρμηνεία ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.**"

Ἄρχ. Ἐν ἀρχῇ ἦν ὁ λόγος. Ἀπὸ τὸν βίον τοῦ μεγάλου Βασιλείου ὃν ἔγραψεν **Ἀμφιλόχιος**. Ἐν ἀρχῇ ἦν ὁ λόγος ὅτι οὐδὲν ἄλλο ἦν εἰ μὴ αὐτὸς ὁ ὤν.

25 (σ. 805). "**Ἱστορία περὶ τῶν δ΄ Εὐαγγελιστῶν** ποῦ ἕκαστος αὐτῶν ἔγραψε τὸ ἑαυτοῦ εὐαγγέλιον."

26 (σ. 807). "**Ἀπὸ τῶν ἐπιστολῶν τοῦ ἁγίου Παύλου Τινὰ συνάγματα.**"

27 (σ. 823). "**Ἐκ τῆς βίβλου τῆς λεγομένης**

Δογματικῆς πανοπλίας [**Εὐθυμίου τοῦ Ζυγαβηνοῦ**] Κεφάλαιά τινα συνάγματα εἰς μίαν ἑκάστην αἵρεσιν ἁρμόζοντα."

Διῄρηται εἰς κδ΄ τίτλους, ὧν α΄ "Τοῦ [**Ἰωάννου**] τοῦ Δασκηνοῦ [=**Δαμασκηνοῦ**] Συλλογιστικὴ ἀπόδειξις ὅτι ὑπάρχει Θεός," κδ΄ "Κατὰ Σαρακηνῶν."

28 (σ. 960). "**Ἐκ τῶν κανόνων τοῦ μεγάλου Βασιλείου ἐκ τῆς πρώτης ἐπιστολῆς.**"

Ἄρχ. Αἱρετικὸς ὁ κατα πίστιν ἀλλότριος.

29 (σ. 963). "**Μητροπολίτου Κυζίκου**

[**Δημητρίου**] Περὶ Ἰακωβιτῶν ἢ Χατζιτζαρίων," "Περὶ Μασσαλιανῶν τῶν νῦν λεγομένων Βογομίλων."

30 (σ. 963). "**Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν**

ἑπτὰ συνόδων ποῦ καὶ πότε καὶ κατὰ τίνων ἑκάστη συνήχθη."

Ἄρχ. Χρὴ δὲ γινώσκειν πάντα Χριστιανὸν ὅτι ἑπτά εἰσιν ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι. Τέλ. δι' ὧν γὰρ τῆς ὀρθοδοξίας προμάχων κατηγοροῦσι τοὺς διὰ τῶν πόνων αὐτῶν καρποὺς σκορπίζειν φιλονικοῦσι. Τούτους οὖν ἀποβάλλεται ὡς ἐχθροὺς τῆς ἀληθείας.

31 (σ. 969). "**Πέτρου διακόνου καὶ φιλοσόφου**

Ἔκθεσις περὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων."

Ἄρχ. Πάντα φθαρτὰ καὶ τρεπτὰ τὰ κτιστὰ λέγειν τὲ καὶ φρονεῖν ὀφείλομεν. Τέλ. ὅσοι μὲν ἐξ αἵματος καθαροῦ τὴν σύστασιν ἔχουσιν οὗτοι πάντες χαίρουσι καὶ γελῶσιν, εἰσὶ δὲ ἀνδρεῖοι, καλόχροοι, ὅσοι δὲ ἀπὸ ξανθῆς χολῆς τυγχάνουσιν οὗτοι εἰσὶ γρήγοροι εὔτολμοι ὀργίλοι πικροὶ καὶ ἀλλόχροοι, ὅσοι δὲ ἀπὸ μελαίνης χολῆς οὗτοι ῥάθυμοι, ὀλιγόψυχοι, φιλάσθενοι, ὀκνηροὶ, δειλοὶ καὶ μελάγχροοι, ὅσοι δὲ ἀπὸ φλέγματος οὗτοι λυπηροὶ καὶ δειλοὶ ψυχροὶ καὶ ἀμνήμονες καὶ διαλελυμένοι, χαῦνοι, μαλακοὶ, μῶμοι.

32 (σ. 985). "'**Ἱπποκράτους Πρὸς Γαληνὸν**

αὐτοῦ μαθητὴν περὶ σφιγμῶν καὶ κράσεως ἀνθρωπίνων σωμάτων."

Ἄρχ. Τὸ ἀνθρώπινον σῶμα ἐκ τεσσάρων χυμῶν συνίσταται.

33 (σ. 985). "**Ἐκ τοῦ Δαμασκηνοῦ τὴν βίβλον λόγος μζ΄.**"

Ἄρχ. Σῶμα ἐστὶ τὸ τριχῇ διαστατόν.

34 (σ. 986). **Περὶ τῶν μηνῶν Ὀκτωβρίου—Φεβρουαρίου ὑπὸ ἰατρικὴν καὶ φυσικὴν ἔποψιν.**

προτάσσονται Στίχοι ἰατρικοί.

Ἄρχ. Ἰστέον ὅτι ἐν τούτῳ τῷ μηνὶ Ὀκτωβρίῳ ζ΄ ἔστιν ἡ ἡμέρα ὡρῶν ια΄ ι΄΄ καὶ ἡ νὺξ ιβ ι΄΄.

35 (σ. 990). "**Τοῦ Πτωχοπροδρόμου**

Μηνῶν παριστῶσαι ἐνεργείας στίχοις."

Ἄρχ. Μάρτιος.

Ἐγὼ στρατηγοὺς πρὸς πανοπλίαν ἄγω,
ξίφη τε θήγω καὶ καινουργῶ πρὸς μάχας.

36 (σ. 991). "**Τοῦ σοφωτάτου Βλυμήδους**

Περὶ οὐρανοῦ καὶ γῆς ἐκ τῶν καθ' ἡμᾶς καὶ τῶν ἔξω σοφῶν."

Ἄρχ. Τὸ τῆς γῆς σχῆμα οὔτε τρίγωνόν ἐστιν οὔτε τετράγωνον οὔτε πάλιν στρογγύλον, ἀλλὰ οἷον ἀμφικυκλόμηκον ἤγουν στρογγυλόμακρον.

37 (σ. 994). "**Ἰωάννου τοῦ Δαμασκηνοῦ**

α΄ (σ. 994). "Κεφ. μ΄ περὶ οὐρανοῦ." Ἄρχ. Οὐρανὸς ἐστὶ περιοχὴ ὁρατῶν τὲ καὶ ἀοράτων κτισμάτων.—β΄ (σ. 996). "Περὶ γῆς **τοῦ Δαμασκηνοῦ** κεφ. με΄." Ἄρχ. Ἡ γῆ ἓν τῶν τεσσάρων στοιχείων ἐστὶ ξηρόν τε καὶ ψυχρόν.—γ΄ (σ. 997). "Περὶ τοῦ παραδείσου κεφ. μς΄." Ἄρχ. Ἐπειδὴ δὲ ἔμελλεν ὁ Θεὸς ἐξ ὁρατῆς τε καὶ ἀοράτου κτίσεως πλαστουργεῖν.—δ΄ (σ. 998). "Περὶ ὑδάτων **τοῦ Δαμασκηνοῦ**." Ἄρχ. Καὶ τὸ ὕδωρ δὲ ἓν τῶν δ΄ στοιχείων ἐστί.—ε΄ (σ. 999). "Περὶ φωτὸς πυρὸς φωστήρων ἡλίου τε καὶ σελήνης καὶ ἄστρων κεφ. μα΄." Ἄρχ. Τὸ πῦρ ἐκ τῶν τεσσάρων στοιχείων ἐστί.—ς΄ (σ. 1001). "Περὶ ἀέρος καὶ ἀνέμων κεφ. μβ΄." Ἄρχ. Ἀήρ ἐστι στοιχεῖον λεπτότατον.

38 (σ. 1002). "**Εἰς τὴν ἀρχὴν τοῦ Μαρτίου μηνὸς προοίμιον.**"

Ἄρχ. Μάρτιος. Οὗτος ἀρχὴ μηνῶν καὶ πρῶτος παρὰ τῷ θεσπεσίῳ διαγορεύεται Μωσεῖ.

39 (σ. 1003). "**Ἀποσπάσματα λόγων ἕνδεκα**

εἰς διαφόρους ἑορτὰς ἐν τῇ καθωμιλημένῃ.

α'. "'Απὸ τὸν λόγον τοῦ Εὐαγγελισμοῦ λόγος α^ος." *Ἄρχ. Συνήθειαν ἔχουσιν οἱ βασιλεῖς ὅταν μέλλουσι νὰ ὑπᾶσιν εἰς τὸν τόπον ὅπου βουληθῶσι.*

Ἐν τέλει· Ἔτος ἀπὸ κτίσεως κόσμου ,ζογ' ἰνδ. η^ης, ἀπὸ δὲ Χριστοῦ ᾳφξε' μηνὸς Ἰουλίου (=1565) ἐτελειώθη.

40 (σ. 1019). "'Αρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Χρονικοῦ βιβλίου ποιηθὲν παρὰ τοῦ σοφοτάτου κυροῦ **Μιχαὴλ τοῦ Γλυκᾶ** διεξιὸν ἀπὸ κτίσεως κόσμου συνοπτικὸν κατ' ἐπιτομὴν περί τε οὐρανοῦ καὶ γῆς περί τε τοῦ φωτὸς αὐτοῦ καὶ πάντων ἁπλῶς τῶν ὑπὸ Θεοῦ δημιουργηθέντων ἐν ἡμέραις ς' περί τε πλάσεως τοῦ Ἀδὰμ καὶ τῶν λοιπῶν καθεξῆς."

Προτάσσεται μὲν ὁ πρόλογος. *Ἄρχ.* Βραχυσύλλαβον ἐγχαράττω σοι καὶ τοῦτο τὸ γράμμα. Περιλαμβάνονται δὲ τὰ τῆς ἑξαημέρου ἐκ τοῦ Χρονικοῦ τοῦ Γλυκᾶ. *Ἄρχ. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.* Τέλ. Ταῦτα μὲν οὖν εἰ καὶ παρεκβατικώτερον εἴρηται ἀλλὰ φιλομαθείας ἕνεκα πάντως τῆς σῆς· ἐφέσει καὶ γὰρ ὡς ὁρᾷς τῇ σῇ χαριζόμενος καὶ φιλοπόνως ταῦτα συνέλεξα καὶ φιλοτίμως τῷδε διείληφα τῷ συντάγματι.

Ἐκδ. Βόννης σ. 221, 4.

41 (σ. 1088). **Θεοδώρου Κυζίκου** Χρονικὸν ἀνεπίγραφον ἀπὸ Ἀδὰμ μέχρι Μιχαὴλ τοῦ Παλαιολόγου.

Ἄρχ. Γεννᾷ τοίνυν ὁ Ἀδὰμ τὸν Κάϊν τὸν Ἄβελ καὶ τὸν Σὴθ, θυγατέρας δὲ δύο καθά φησι Γεώργιος τὴν Ἀζουρὰμ ἣν ὁ Κάϊν ὡς γυναῖκα ἔλαβε καὶ τὴν Ἀσουὰμ ἣν ἔλαβεν ὁ Σήθ. Ὁ γὰρ Ἄβελ φονευθεὶς παρὰ τοῦ Κάϊν διὰ φθόνον ἀπῆλθε παρθένος. Ἐφθόνει δὲ τῷ Ἄβελ ὁ Κάϊν ὅτι προσέσχε ταῖς αὐτοῦ θυσίαις ὁ Θεὸς μᾶλλον ἢ ταῖς τοῦ Κάϊν.

Πρβλ. **Μιχαὴλ Γλυκᾶν** Ἐκδ. Βόννης σ. 221, 6 κ. ἑ.

Μετὰ τὴν ἱστορίαν Ἰουδαίων καὶ Βαβυλωνίων βραχύτατα τὰ περὶ Περσῶν, μεθ' ἃ περὶ Ἀλεξάνδρου τοῦ μεγάλου, Μακεδόνων καὶ Πτολεμαίων. Ἔπειτα δ' ἔπεται ἡ ἱστορία τῶν Ῥωμαίων, ἀρχομένη διὰ τῶν ἑξῆς· Ἐνταῦθα καλὸν τὴν ἱστορίαν ἀναποδίσαντα περὶ τῶν Ῥωμαίων διαλαβεῖν ὅθεν ἕλκουσι τὰς τοῦ γένους πηγάς· ἔχει δὲ οὕτως. Αἰνείας ὁ Φρὺξ μετὰ τὴν τῆς Τροίας ἅλωσιν φεύγων τὸν ὑπὸ τῶν Ἑλλήνων Φρυγίας βασιλέα Ἀντίνορα ἐξώρμησεν εἰς Ἰταλίαν πρὸς Λατῖνον τὸν Τηλέφου υἱόν. Μετὰ δὲ τὴν ἱστορίαν τῶν Ῥωμαίων ἄρχεται ἡ τοῦ βυζαντιανοῦ κράτους καταλήγουσα εἰς τὰ περὶ Μιχαὴλ τοῦ Παλαιολόγου καὶ ἀνακτήσεως τῆς Κωνσταντινουπόλεως διὰ τῶν ἑξῆς· καὶ ὁ βασιλεὺς εἰσῆλθεν εἰς τὸ ἀνάκτορον τὸ τῆς μεγάλης Σοφίας τέμενος ἵνα ἐγχειρίσῃ τὴν καθέδραν τῷ ἀρχιερεῖ καὶ συνήθροιστο μετὰ τοῦ βασιλέως καὶ τῶν ἐν τέλει πάντες καὶ τῶν ἀρχόντων οἱ πρόκριτοι καὶ πᾶσα πληθὺς καὶ ὁ βασιλεὺς τῆς χειρὸς τοῦ πατριάρχου ἐπιλαβόμενος ἔχεις φησὶ τὸν θρόνον σου δέσποτα καὶ οὕτινος ἐκ μακροῦ ἐστέρησαι καὶ τῆς καθέδρας ἀπόλαβε.

Ἐν τέλει· Γίνωσκε οὖν ἤρξατο ὁ Γεώργιος ἀπὸ καταβολῆς κόσμου ἕως τοῦ Μαξιμιανοῦ καὶ Μαξιμίνου τοῦ υἱοῦ αὐτοῦ. Μετὰ δὲ τὸν Γεώργιον ὁ ὁμολογητὴς Θεοφάνης ἕως τελευτῆς βασιλέως Νικηφόρου τοῦ ἀπὸ γενικῶν. Καὶ ἀπὸ Μιχαὴλ τοῦ Ῥαγγαβὲ τῆς χρονογραφίας ὁ Ἰωάννης ὁ Σκυλίτσης κατήρξατο ἕως τοῦ Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου τοῦ Πορφυρογεννήτου. Ἀπὸ δὲ τούτων τῶν βασιλέων ἤρξατο **Θεόδωρος ὁ Κυζίκου** *ἄχρι Μιχαὴλ τοῦ Παλαιολόγου. Ἀπὸ καταβολῆς κόσμου ἦρξε καὶ οὗτος, οὐ μέντοι δὲ εἰς πλάτος ἔγραψεν. Ἀπὸ δὲ τούτων τῶν δύο βασιλέων ὡς εἴπωμεν ἔγραψεν οὗτος εἰς πλάτος, ἦγουν ὅσους δὲν ἔφθασαν ἐκεῖνοι γράψαι.*

Τὸ Χρονικὸν ἄρχεται μὲν ἐν σ. 1088 κατὰ τὰ εἰρημένα ἀνεπίγραφον διὰ τῶν ἀνωτέρω παρατεθέντων. Τὸ δὲ ὄνομα τοῦ συγγραφέως καὶ ἡ ἀληθὴς ἀρχὴ τοῦ Χρονικοῦ εὑρηνται κατωτέρω ἐν σ. 1221, ἔνθ' ἀναγινώσκονται ταῦτα· *"Ἡ βίβλος ἥδε* **Κυζίκου Θεοδώρου** *σύνοψις χρονικὴ ἀπὸ Ἀδὰμ τὴν ἀρχὴν λαβοῦσα καὶ κατιοῦσα μέχρι καὶ τῶν κατὰ καιροὺς ἀρχόντων τῶν τε κριτῶν καὶ τῶν βασιλέων τῶν τε Περσῶν καὶ τῶν ἄλλων ἐθνῶν ἕως καὶ τῶν τῆς παλαιοτέρας Ῥώμης καισάρων καὶ τῶν τῆς νεωτέρας βασιλέων, δηλοποιοῦσα τίνες οὗτοι καὶ πόσον ἕκαστος χρόνον τὰ τῆς βασιλείας διῴκησε καὶ τίς καὶ τίνα ἔσχε διάδοχον."*

Ἄρχ. Ἀδὰμ μετὰ τὸ γενέσθαι ἐτῶν σλ' ἐγέννησε τὸν Κάϊν, τὸν Ἄβελ καὶ τὸν Σὴθ καὶ θυγατέρας δύο Ἀζουρὰμ καὶ Ἀσουὰμ, ἣν δὲ τούτῳ γυνὴ Εὔα. Τέλ. *ἐπὶ τούτου προεφήτευον Ἀχιὰς ὁ Σιλωνίτης καὶ Σαμαίας καὶ Ἀδδὼ οἱ προφῆται. Σημ(είωσις). Γήρησε ὄπισθεν εἰς τὸν χρονογράφον καὶ εἶδες καὶ τὰ λοιπὰ τῆς χρονογραφίας.*

42 (σ. 1216). Βραχύτατα σημειώματα *περὶ τῶν μετὰ Μιχαὴλ τὸν Παλαιολόγον βασιλέων μέχρι Κωνσταντίνου.*

43 (σ. 1217). "'Ετέρα χρονογραφία περὶ τῶν Τούρκων."

Ἄρχ. Ἔτους ,ϛωνδ' ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν. Τέλ. *ἔτους ,ζμζ' ἔτει Νοεμβρίῳ κα' ἔδωκαν οἱ Βενετίκοι τὸ Ἀνάπλη καὶ τὴν Μονεβασίαν τοὺς Τούρκους διὰ νὰ κάμουν ἀγάπην.*

44 (σ. 1218). "Περὶ τῶν παρ' αἱρετικῶν κεχειροτονημένων ἐκ τῶν ἐκκλησιαστικῶν ἱστοριῶν Συλλογὴ μερική."

Ἄρχ. Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος ἐξεκόπη τῶν πιστῶν καὶ καθῃρέθη δι' ἀποκαλύψεως παρὰ τοῦ ἁγίου μάρτυρος Πέτρου.

Ἔπονται αἱ σ. 1221—1225 περὶ ὧν ἴδε ὑπ' ἀρ. 41.

45 (σ. 1225). "'Εκ τοῦ Χρονικοῦ ἤτοι ἐκ τῆς βίβλου τῆς Παλαιᾶς."

Ἄρχ. "Περὶ τοῦ Νῶε." Αὗται δὲ αἱ γενέσεις Νῶε. Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ τῷ Θεῷ εὐηρέστησεν· ἐγέννησε δὲ Νῶε τρεῖς υἱούς.

Ἔστι δὲ περίληψις τῆς Παλαιᾶς διαθήκης, ἐν ᾗ περιλαμβάνονται διηγήσεις ἐκ τῆς Γενέσεως, τῆς Ἐξόδου, τοῦ Λευιτικοῦ, τῶν Ἀριθμῶν, τοῦ Δευτερονομίου, τῶν Βασιλειῶν, τοῦ Ἔσδρα, τῆς Ἐσθὴρ, τῆς Ἰουδὶθ, τοῦ Τωβὶτ, τῶν Δανιὴλ ὁράσεων καὶ τῶν Μακκαβαίων.

Ἐν ἀρχῇ τοῦ κώδικος ἡ ἑξῆς μακρὰ σημείωσις τοῦ βιβλιογράφου περί τε τούτου τοῦ κώδικος (πυκτὶς β') καὶ ἄλλου πρότερον ὑπ' αὐτοῦ γεγραμμένου (πυκτὶς α'),

Προοίμιον.

Τὴν δέλτον οὖν ταύτην, ὦ ἀδελφοί, ἐκ πολλῶν καὶ διαφόρων βιβλίων συνήθροισα καὶ συνήρμοσα εἰς μίαν βίβλον, τάχα γε εἰς ὠφέλειαν ἕνεκεν τῶν ἐντυγχανόντων αὐτὴν, καθάπερ ἡ μέλιττα ἐκ πολλῶν

καὶ διαφόρων ἀνθέων τὴν γλυκύτητα τοῦ μέλιτος, εἰς κοινὴν ὠφέλειαν· τίς ὁ σκοπὸς τῆς ἐμῆς ἐννοίας τῆς συλλογῆς ταύτης; ἵνα γένηται ἐπιθυμητὴ πάντων τῶν σπουδαίων, ἀλλὰ καὶ αὐτῶν σχεδὸν τῶν ῥαθύμων καὶ ἀμελῶν, διὰ τὴν συνάθροισιν τῶν πολλῶν βιβλίων· ὁρῶμεν γὰρ σήμερον πολλὰς ἱερὰς βίβλους καταπεφρονημένας καὶ ἠμελημένας· μᾶλλον δὲ καὶ ὑπὸ σκωλήκων βεβρωμένας· ἕνεκεν τούτου ἐδεδοίην κἀγὼ μήποτε φθαρῇ καὶ ἀχρειοθῇ ὑπὸ καταφρονήσεως, ἐσοφίσθην τὸν θεοφιλῆ σκοπὸν τοῦτον τῆς συλλογῆς ταύτης, καθάπερ τις ὀψοποιὸς ἄριστος ἐκ πολλῶν καρυκευμάτων εἰς ἑνὸς ὄψου ἡδονήν, ὡς καὶ τὸν ἄγαν ἀνόρεκτον εἰς ὄρεξιν ἑλκίση τοῦ γεύματος τοῦ ὄψου· ἢ διάφορα βρώματα συσκευασάμενος τὸν ἀσθενῆ· καὶ ἐὰν οὐκ ἔχῃ ὄρεξιν εἰς τοῦ ἑνὸς ὄψου, ἵνα γεύηται τοῦ ἑτέρου· ἂν δὲ καὶ τούτου ἀηδίζεται, ἅπτηται τοῦ ἄλλου· πάντως ἀπὸ τῶν πολλῶν ἐκείνων ἐδεσμάτων ὀρέγεται τινὸς φαγεῖν· τὸν αὐτὸν δὲ τρόπον ἐσοφίσθην κἀγὼ τὸν ἔρανον τοῦτον τῆς συλλογῆς καὶ ὑπέμεινα τὸν τραχὺν καὶ πολὺν κόπον τοῦτον τοῦ καμάτου καὶ τοὺς πολλοὺς γογγισμοὺς τῶν ἀδελφῶν. Τίς ἡ αἰτία τοῦ γογγισμοῦ, ὃν ἐγόγγιζάν μοι οἱ ἀδελφοί; ἐγὼ ἐρῶ ὑμῖν· ὡς ἂν εὐκαίρουν κἂν ἀπὸ ταῖς ἔξω δουλίαις, κἂν ἀπὸ ταῖς ἔσω, εὐθὺς ἐπὶ τὸ γράφειν ἐκαθεζόμην προθύμως, τάχα γε, ἵνα τελειώσω ὧν ἤρξα· καὶ τούτου ἕνεκεν ἐγόγγιζάν μοι, ἵνα ἐβλέπω ταῖς δουλίαις τοῦ μοναστηρίου· καὶ τόσον οὐκ ἐλογιζόμην τὸν κόπον, ὅσον τὸν γογγισμὸν καὶ τὸν ὀνειδισμόν· ἐγὼ δὲ ἐκώφευα πρὸς τὴν λοιδορίαν αὐτῶν, διὰ τὸν ἐλπιζόμενον ἀπὸ Θεοῦ μισθόν· ἐώρουν γὰρ τὸν κόπον μου, ὅτι πνευματικὸς ἦτον, καὶ τὸ ἐργόχειρόν μου ὠφέλιμον μετὰ ταῦτα εἰς τοὺς μέλλοντας θεωρεῖν αὐτὸ μετὰ πίστεως, καὶ πᾶν ἔργον θεάρεστον οἶδα ἀληθῶς ὅτι φθονεῖται καὶ ἐμποδίζεται συνεργείᾳ δαίμονος· διὰ τοῦτο οὖν οὐδὲ προσῆχον αὐτοῖς κἂν ἄκροις ὠσὶ, ἢ μόνον ἐργαζόμην καὶ ἔγραφον προθύμως. πολλάκις δὲ ἠμέλουν καὶ αὐτὴν τὴν ἀκολουθίαν μου, ἵνα ἴδω γλιχόμενος τὸ τέλος τοῦ βιβλίου καὶ ἐλευθερωθῶ τοῦ διπλοῦ κόπου, τοῦ καμάτου λέγω καὶ τῆς λοιδορίας· πιστεύσατέ μοι ἀδελφοί, ὅτι πλέον ἔγραφα τὴν νύκτα παροῦ τὴν ἡμέραν, διὰ τὴν αἰτίαν ταύτην· καὶ οὐχὶ μόνον εἰς τὴν παροῦσαν βίβλον ἦτον ὁ φθόνος ὁ δαιμονικὸς, ἀλλὰ καὶ εἰς τὴν ἑτέραν· ἔγραψα γὰρ καὶ ἕτερον πανθ' ἕκτην πρὶν νὰ μὲ ποιήσωσιν ἡγούμενον τὸ πρῶτον, ἤγουν ἁπλὸς παπᾶς, ἔχουσα οὖν ἐντὸς αὐτοῦ πᾶσαν ἀκολουθίαν, ὅσην χρειάζεται ὁλοχρονικῶς ὁ σπουδαῖος ἱερομόναχος· ὅμως ὁ φθονερὸς δαίμων οἴδατε πάντες σαφῶς, ὅτι ἀεὶ βασκαίνει τὰ καλὰ ἔργα καὶ θεάρεστα καὶ κινεῖ τοὺς ἀμελεῖς καὶ ἀπαιδεύτους καὶ καταφρονητὰς ἀνθρώπους πρὸς φθόνον καὶ ζῆλον, ἵνα σκανδαλίζωσι τοὺς ἀγωνιζομένους πρὸς ἔργα ἀγαθὰ καὶ σωτήρια· διὰ τοῦτο τοιγαροῦν δέομαι ἡμῶν οἰκετικῶς τοὺς σπουδαίους λέγω καὶ φιλομαθεῖς, ὅσοι γινώσκετε τὸν κόπον καὶ τὸν πόνον τοῦτον τοῦ καμάτου· ὅσοι μέλλετε μετὰ ταῦτα λαβεῖν αὐτὴν ἐπὶ χεῖρας ἀναγινώσκειν, μέμνησθέ μου διὰ τὸν μικρὸν πόνον τοῦτον, καὶ μνείαν ποιήσατε πρὸς τὸν φιλάνθρωπον Θεὸν ὑπὲρ ἐμοῦ τοῦ οἰκτροῦ Κλήμεντος τάχα καὶ θύτου, ὅπως διὰ τῶν ἁγίων ὑμῶν εὐχῶν, συμπαθήσῃ τὰ πολλά μου ἁμαρτήματα καὶ ἀξιώσῃ με τῆς αὐτοῦ βασιλείας, εὐχαῖς καὶ πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου καὶ τοῦ τιμίου Προδρόμου καὶ πάντων τῶν ἁγίων, ἀμήν.

Πίναξ ἀκριβὴς τῆς παρούσης πικτῦδος.

Ἰδοὺ σὺν Θεῷ ἀπαριθμῶ τῆς α^{ης} βίβλου τὰς ἀκολουθίας· εἰς τὴν ἀρχὴν τίθημι πρῶτον ψαλτήριον, καὶ μετ' αὐτὸ ἡ ὀκτώηχος· εἶτα ἡ ἑβδομαδαρέα, καὶ μετ' αὐτὴν τὸ ἀνώνυμον Μηναῖον, ἤγουν ἀκολουθίαι ὡς ἁρμόζει ἑνὶ ἑκάστῳ ἁγίῳ· ἔπειτα, αἱ δεσποτικαὶ ἑορταὶ καὶ τῶν μεγάλων ἁγίων ὅσοι ἔχουν δοξολογίαν· εἶτα τὸ τριῴδιον καὶ τὸ πεντηκοστάριον, μετὰ τούτων τὸ μηνολόγιον ἀρχόμενον ἀπὸ μηνὸς Σεπτεβρίου μέχρι μηνὸς Αὐγούστου τυπικομένον· εἰς τὸ τέλος αὐτοῦ τὰ συνάγματα Μάρκου μοναχοῦ εἰς τὰ ἀπορούμενα τοῦ τυπικοῦ· εἶτα τὸ εὐχολόγιον σῶον, ὅσα χρειάζεται ὁ πνευματικὸς πατὴρ καὶ τὸ νομοκάνονον πάνυ ὡραῖον καὶ δύο βαθμολόγια. Ταῦτα τὰ βιβλία ἔχει ἡ πρώτη βίβλος.

Πίναξ ἀκριβὴς τῆς β^{ας} πικτῦδος.

Ἰδοὺ Θεοῦ θέλοντος σὺντάττω καὶ τὸν πίνακα καὶ τὴν ἁρμογὴν τοῦ δευτέρου βιβλίου καὶ ἀπαριθμῶ μιᾶς ἑκάστης πικτῦδος, τὸ ὄνομα αὐτῆς καὶ τὸν τόπον· πρῶτον καὶ κατ' ἀρχὴν τίθημι τὴν βίβλον τοῦ κῦρ Συμεὼν Θεσσαλονίκης, εἶτα μετ' αὐτὴν τὸ νομοκάνονον σῶον ὅσα χρειάζεται ὁ πνευματικὸς πατὴρ εἰς διόρθωσιν ψυχὰς ἀνθρώπων καὶ τὸ βαθμολόγιον, καὶ ἄλλα τινὰ συνάγματα ἀπὸ τὸ μέγα νομοκάνονον· μετὰ τούτων τὴν βίβλον Ἀναστασίου τοῦ Σιναΐτου· εἶτα τοῦ Ἀντιόχου τὴν βίβλον καὶ εἰς τὸ τέλος αὐτῶν, τὰ ἀποφθέγματα, τὸ πατερικὸν, ἤτοι τὸ γεροντικὸν, καὶ εἰς τὸ τέλος αὐτοῦ τοῦ ἁββᾶ Νείλου περὶ τῶν ὀκτὼ λογισμῶν τῆς κακίας καὶ ἄλλα τινὰ τοῦ αὐτοῦ· μετ' αὐτῶν τὴν ἐξήγησιν τοῦ Εὐαγγελίου καὶ τῶν ιδ'. ἐπιστολῶν τοῦ Παύλου· εἶτα τὸ ἑλεξικὸν πλούσιον ἀπὸ πολλῶν βιβλίων συνειλεγμένον, καὶ εἰς τὸ τέλος αὐτοῦ τοὺς τρεῖς ἰαμβικοὺς κανόνας· ἔπιτα τὴν βίβλον τῆς δογματικῆς πανοπλίας καὶ εἰς τὸ τέλος αὐτῆς, οἱ ἑπτὰ σύνοδες, καὶ ἄλλα πολλὰ κεφάλαια περὶ πίστεως καὶ περὶ θεολογίας χρειαζόμενα, εἶτα Πέτρου διακόνου τῆς μεγάλης ἐκκλησίας, ἀστρονομία σύντομος, καὶ εἰς τὸ τέλος αὐτῆς, οἱ ιβ'. μῆνες δὶς καὶ τρὶς γεγραμμένοι, περὶ ἄλλης αἰτίας, ἀλλὰ καὶ περὶ ἰατρείας, καὶ ἄλλα τινὰ κεφάλαια χρειαζόμενα τοῦ Βλυμίδους καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ· μετὰ τούτων ἡ ἑξαήμερος Μιχαὴλ τοῦ Γλυκᾶ, καὶ μετ' αὐτὴν ὁ χρονογράφος σῶος, ἀπὸ Ἀδὰμ ἀρχόμενος μετὰ τὸ ἐκβληθῆναι τοῦ παραδείσου, μέχρι βασιλείας Κωνσταντίνου τοῦ Παλαιολόγου· ἐπὶ τούτου τοῦ Κωνσταντίνου ἑάλω ἡ Κωνσταντινούπολις ὑπὸ τῶν Τούρκων. Τέλος πάντων τίθεται ἡ βίβλος τοῦ Μωσέως, ἤτοι ὁ παλαιὸς νόμος, καὶ καθεξῆς αἱ βίβλοι αὗται· τοῦ Ἰὼβ, τοῦ Ἔσδρα, τῆς Αἰσθὴρ, τῆς Ἰουδὴθ, τοῦ Τωβὶτ, τοῦ Δανιὴλ καὶ τῶν Μακαβαίων.

Καὶ τὴν μὲν πρώτην βίβλον τὴν ἔχουσαν τὰς ἀκολουθίας τῆς προσευχῆς, ἤγουν τὸν πρῶτον πάνθ' ἕκτην, ἔγραψα αὐτὸν πρὶν νὰ με ποιήσωσιν ἡγούμενον τὸ πρῶτον, τουτέστιν ἁπλῶς ἱερομόναχος· ἐποίησαν δέ με ἡγούμενον τὸ πρῶτον ἐν τῷ ,ζνα' ἔτει, πάνυ τῇ ἡλικίᾳ νέον, ἐν μηνὶ Νοεμβρίῳ εἰς τὰς κς' (=1542).

Ἔγραψα δὲ μετὰ τὴν ἀποχὴν τοῦ πρώτου μου ἡγουμενείου καὶ τὴν δευτέραν βίβλον, ἤτοι τὸν δεύτερον πανθ' ἕκτην, ὃν καὶ ἐπὶ χεῖρας κρατοῦμεν, καὶ ἐστάχοσα αὐτὸν τὸ πρῶτον στάχομα ἐν τῷ ,ξξ$^{\omega}$ ἔτει (=1552)· εἶτα ἐποίησάν με πάλιν ἡγούμενον δεύτερον ἐν τῷ ,ξξζ$^{\omega}$ ἔτει Σεπτεμβρίου εἰς τὰς η'· ἐν τούτῳ τῷ ἔτει τῷ ζξη$^{\omega}$ (=1560) ἐστάχοσα πάλιν δεύτερον τὴν παροῦσαν βίβλον, ἤτοι, τὸν παρόντα πανθ' ἕκτην, μὴ ἀρέσαντός μου τοῦ πρώτου σταχόματος· ἡγουμενεύοντος δέ μου δευτέρου χρόνου· τίς ἡ αἰτία τῆς σημειώσεως ταύτης, ἵνα γινώσκη τις τοὺς πεπερασμένους χρόνους, πόσοι ἐπεπεράκασι ἀπὸ τὴν μίαν ὑπόθεσιν ἕως τὴν ἄλλην, διὰ τὴν φιλονεικίαν. Τέλος πάντων καὶ τῷ Θεῷ δόξα τῷ δόντι τὸ τέλος.

Ὁ κῶδιξ γέγραπται ἐναλλὰξ ὁτὲ μὲν κατὰ δύο σελίδας, ὁτὲ δὲ κατὰ μίαν καὶ μόνην.

3759. 225. Χαρτ. 8. XVII.

1. **Συμεὼν Θεσσαλονίκης**

α'. Θεολογικαὶ πραγματεῖαι. Ἄρχ. (ἀκέφ.)...**ἑαυτῷ διὰ τῆς ἐκκλησίας εἰργάσατο ἐν ἁγίῳ πνεύματι.** Ὅρα καὶ ὅπως τὸν γάμον ὡς δημιουργὸς συνεστήσατο καὶ εὐλόγησεν. Ἔπονται τούτοις τοῖς περὶ γάμου καὶ παρθενίας κεφάλαια "Περὶ μετανοίας καὶ ἐξαγορεύσεως," "Περὶ τοῦ σχήματος πῶς ὁ σωτὴρ δι' ἑαυτοῦ ἔδειξεν," "Διατὶ ἔλαιον ἐν τῷ ἁγίῳ καὶ μεγάλῳ μύρῳ καὶ ἔλαιον ἐν τῷ εὐχελαίῳ."—β'. "Ἑρμηνεία...περὶ τοῦ θείου ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερέων καὶ διακόνων..."—γ'. "Περὶ τοῦ ἱεροσολυμιτικοῦ τυπικοῦ."—δ'. "Περὶ τοῦ τέλους καὶ τῆς ἱερᾶς τάξεως τῆς κηδίας..."—ε'. "Περιεκτικὰ ὡς δυνατὸν τῆς μόνης... πίστεως..."—ς'. "Ἀποκρίσεις πρὸς ἐρωτήσεις...Γαβριήλ." πε'.

Ἐν τέλει· Τέλος τοῦ κῦρ Συμεὼν ,ζρξγ' (=1655).

Ἴδ. 3758 (224), 4.

2. **Ἀναστασίου τοῦ Σιναΐτου Ἀποκρίσεις...ρμγ'.**

Ἐν τέλει· Τέλος ἔλαβον αἱ ἐρωταποκρίσεις παρ' ἐμοῦ Ἀντωνίου ταπεινοῦ ῥακενδύτου ἔτους ,ζρξγ' (=1655).

Ἴδ. 3756 (224), 8.

3. "Ἐπιστολὴ **Ἀντιόχου μοναχοῦ**...πρὸς **Εὐστάθιον** ...Ἀτταλικῆς πόλεως..." Κεφ. ρλ'.

Ἴδ. 3758 (224), 9.

4. "**Ἀποφθέγματα ἐκ διαφόρων βιβλίων ἐκ τοῦ Εὐαγγελίου**..."

Κεφ. ογ', ὧν α' Περὶ ἀρετῆς καὶ κακίας...—ογ' Περὶ καταλαλιᾶς.

Ἴδ. 3758 (224), 10.

5. "Περὶ τῶν ὀκτὼ λογισμῶν

ἐκ τῆς ἑρμηνείας τῆς Κλίμακος [**Ἰωάννου τοῦ Σχολαστικοῦ**]" καὶ "Τοῦ **ὁσίου** πατρὸς ἡμῶν **Νείλου** περὶ τῶν ὀκτὼ λογισμῶν."

Ἴδ. 3758 (224), 15.

6. "Τοῦ αὐτοῦ **ἀββᾶ Νείλου**

Ἐπειδὴ ὁ ἄνθρωπος ἐκ ψυχῆς ὑπάρχων καὶ σώματος δυσὶ σαλεύεται νόμοις σαρκὸς λέγω καὶ πνεύματος καὶ ὁ μὲν τῆς σαρκὸς νόμος κατὰ τὴν αἴσθησιν, ὁ δὲ τοῦ πνεύματος κατὰ τὸν νοῦν κέκτηται τὴν ἐνέργειαν."

Ἄρχ. Ἰστέον ὅτι διπλοῦς ὢν ὁ ἄνθρωπος.

7. "Περὶ **ἐξαγορεύσεως Σωφρονίου Ἱεροσολύμων**" (κολ.).

Ἴδ. 3758 (224), 5.

Ὁ κῶδιξ ἀντίγραφον τοῦ ὑπ' ἀρ. 3758 (224) κατ' ἐκλογήν.

3760. 226. Χαρτ. 8. XVI.

1. Ψαλτήριον.

Μετὰ παρασελιδίων σχολίων. Τὰ σχόλια ἄρχ. Οὐκ ἀπέκλεισε τοῦ μακαρισμοῦ τὰς γυναῖκας ἀλλ' ἐκ τοῦ ἡγεμονικωτέρου τὸ ὅλον ἐδήλωσεν. Λοιμοὶ δὲ οἱ καὶ ἄλλοις τῆς κακίας μεταδιδόντες.—Καρπὸν τοῦ ξύλου νοήσης τὴν ὀρθὴν πίστιν, φύλλα δὲ αὐτοῦ τὴν πλήρωσιν τῶν ἐντολῶν.—Φρίαγμα ἐστὶν ὁ ἐξ ἀγερωχίας καὶ θρασύτητος ἐγγινομένης τοῖς ἵπποις χρεμετισμός.

Προτάσσεται μὲν Εἰσαγωγὴ ἀνεπίγραφος εἰς τὸ Ψαλτήριον. Ἄρχ. Αὕτη ἡ βίβλος ὦ φιλόλογε τὸ Ψαλτήριον πεντάτευχος καλεῖται· διῆλον γὰρ αὐτὸ εἰς πέντε βιβλία οἱ τῶν Αἰβραίων διδάσκαλοι ὥστε εἶναι καὶ αὐτὸ ἄλλην πεντάτευχον. Ἔπονται δ' Εὐχαί τινες καὶ "Καθίσματα κατανυκτικὰ καὶ εὐχαὶ λεγόμεναι εἰς τὰ καθίσματα τοῦ Ψαλτῆρος," ἐν οἷς καὶ α' "**Θεοφίλου οἰκουμενικοῦ πατριάρχου** Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον," β' "Εὐχὴ **Παύλου μοναχοῦ** μονῆς τῆς ὑπεραγίας Θεοτόκου **τῆς Εὐεργέτιδος**," γ' "**Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ** Εὐχὴ περιεκτικὴ εἰς τὴν ζωοποιὸν Τριάδα."

2. "Μηνολόγιον σὺν Θεῷ ἁγίῳ ὅλου τοῦ ἐνιαυτοῦ."

3. "Περὶ τῶν ἑπτὰ ἡλικιῶν τοῦ ἀνθρώπου."

4. "Περὶ ἀγάπης, τοῦ μεγάλου φωστῆρος **Χρυσοστόμου**."

Ἀπόσπασμα. Ἄρχ. Εἰπὲ δή μοι τί σοι δοκῶ μεῖζον εἶναι χάρισμα διδασκαλίας.

5. "Κατὰ τοῦ ,ς$^{\omega}$ ὀκτακοσιαστοῦ ἔτους

βασιλείας Ἀνδρονίκου. Ἐκ τοῦ σιγιλλιώδους γράμματος **Νίφωνος** ἀρχιεπισκόπου Νέας Ῥώμης καὶ **οἰκουμενικοῦ πατριάρχου** ἐν τῷ Προτάτῳ τοῦ ἁγίου Ὄρους."

Ἀναφέρεται εἰς τὰ προνόμια τοῦ Ἁγίου Ὄρους. Ἄρχ. Ὥσπερ δ' οὐκ ἀρκεσθέντες τοῖς οὕτω λαμπρῶς πονηθεῖσι καὶ φιλοτιμηθεῖσιν οἱ θειότατοι τῶν βασιλέων ἐκεῖνοι ἀλλ' ἀδέσποτόν τι χρῆμα τὴν ἀρετὴν εἰδότες, κἀκεῖσε διαμένειν ἀδέσποτον μάλιστα δικαιοῦντες, ὑπ' ἐλευθερίαν πᾶσαν ἀνῆκαν τὰ κατ' αὐτό. Τέλ. πολλῷ γὰρ βέλτιον τὸ τῶν κανόνων δίκαιον καὶ χρόνων ἰσχύειν καὶ παντὸς ἄλλου ἢ χρόνου δίκαια τῶν ἱερῶν νικᾶν κατεπαιρόμενα καὶ κατακαυχώμενα. Κατὰ τοῦ ,ς$^{\omega}$ ἔτους. **Νίφων** ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ **οἰκουμενικὸς πατριάρχης.**

6. "Ἀντώνιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος

Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ **οἰκουμενικὸς πατριάρχης.**"

Σιγίλλιον ἀναφερόμενον εἰς τὰ προνόμια τοῦ ἁγίου Ὄρους. Ἄρχ. Ἐπεὶ ὁ ὁσιώτατος πρῶτος τῶν κατὰ τὸ Ἅγιον Ὄρος τὸν Ἄθω ἁγίων καὶ σεσεμνυσμένων μονῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος ἱερομόναχος κῦρ Νεόφυτος ἐκλεγεὶς παρὰ τῶν ἐνασκουμένων τῷ Ἁγίῳ ὄρει τιμιωτάτων ἱερομονάχων καὶ μοναχῶν ὡς ἔθος εἰς πρῶτον, εἶτα ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα. Τέλ. Τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μῆνα Μάρτιον τῆς τέσσαρες καὶ δεκάτης ἰνδικτιῶνος τοῦ ,ς$^{\omega}$ ἐννεηκοστοῦ ἐνάτου ἔτους. **Ἀντώνιος** ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ **οἰκουμενικὸς πατριάρχης.**

7. "Ἐκ τῶν κεφαλαίων τοῦ **μεγάλου Βασιλείου** τῶν Ἀσκητικῶν."

8. **Κανόνες τινὲς τῶν Ἀποστόλων καὶ συνόδων** μετὰ ἑρμηνείας.

9. "Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν **Μαξίμου τοῦ ὁμολογητοῦ** Παράδωσις ἀναγγαῖα πᾶσι τοῖς ὀρθοδόξοις Χριστιανοῖς."

Ἀρχ. Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα ἄναρχον παντελῶς καὶ ἀΐδιον.

10. "**Τοῦ αὐτοῦ Καὶ** περὶ τῆς ἐνσάρκου ὁμολογίας."

3761. 227. Χαρτ. 8. XV. (φ. 284).

"**Μητροφάνους μητροπολίτου Σμύρνης**

Ἑρμηνεία εἰς τὰς καθολικὰς ἐπιστολὰς τῶν ἁγίων **Ἀποστόλων**."

α΄ Εἰς τὴν τοῦ **Ἰακώβου** καθολικὴν ἐπιστολήν. (φ. 1 α). Ἀρχ. Τῶν πνευματικῶν καὶ νοερῶν νεφελῶν ὁ θεῖος καὶ οὐράνιος ὑετὸς γεννᾶται μὲν αὐταῖς καὶ χορηγεῖται σαφῶς ἀπὸ τῆς ἀνωτάτω πάντων καὶ ἀεννάου πηγῆς. Τέλ. καὶ τὰς μακαρίας ἐπαγγελίας εὑρήσομεν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—β΄ (φ. 24 α). "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος." Ἀρχ. Γίνεσθε δὲ ποιηταὶ νόμου καὶ μὴ μόνον ἀκροαταί. Τέλ. ἵνα δοξάζῃς τὸν ἐπὶ πάντων Θεὸν καὶ βασιλέα τῆς δόξης μετὰ τῶν ἁγίων ἀγγέλων ἀκαταλήκτως ὅτι αὐτῷ πρέπει δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—γ΄ (φ. 41 α). "**Τοῦ αὐτοῦ** Λόγος γ^ος^." Ἀρχ. Οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖται ὡς διὰ νόμον ἐλευθερίας μέλλοντες κρίνεσθαι. Τέλ. καὶ δοξάζομεν αὐτὸν ἀκαταλήκτως ὡς βασιλέα τῆς δόξης ὅτι αὐτῷ πρέπει δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—δ΄ (φ. 52 β). "**Τοῦ αὐτοῦ** λόγος δ^ος^." Ἀρχ. Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν. Τέλ. ἵνα μὴ παραρρυῆς τῆς τῶν οὐρανῶν βασιλείας ἣς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ε΄ (φ. 66 α). "**Τοῦ αὐτοῦ** Λόγος πέμπτος." Ἀρχ. Ἄγε νῦν οἱ λέγοντες σήμερον καὶ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν. Τέλ. ἵνα καὶ τὰς ἐντεῦθεν λάβοιμεν ἀμοιβὰς καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῶμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν. Τέλος τοῦ ε^ου^ λόγου τοῦ εἰς τὴν τοῦ **Ἰακώβου** καθολικὴν ἐπιστολήν.—ς΄ (φ. 83 β). "**Τοῦ αὐτοῦ Μητροφάνους μητροπολίτου Σμύρνης** Ἑρμηνεία εἰς τὴν τοῦ **Πέτρου** καθολικὴν ἐπιστολὴν λόγος α^ος^." Ἀρχ. Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ ἐκλεκτοῖς παρεπιδήμοις. Τέλ. εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν καὶ καταξιωθῶμεν καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ζ΄ (φ. 96 α). "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος." Ἀρχ. Διότι πᾶσα σὰρξ ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Τέλ. εἶτα φησὶν καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ τὰς ἁμαρτίας αὐτοῦ παρεδόθη. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.—η΄ (φ. 110 β). "**Τοῦ αὐτοῦ** Λόγος τρίτος." Ἀρχ. Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα, ἀλλ' ἐπιστράφητε νῦν ἐπὶ τὸν ποιμένα. Τέλ. καὶ τὴν ἄρρητον ἀγαλλίασιν ἔχοντα καὶ μακαριωτάτην ἀπάθειαν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—θ΄ (φ. 126 α). "**Τοῦ αὐτοῦ** Λόγος τέταρτος." Ἀρχ. Ἕτοιμοι δὲ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι. Τέλ. καὶ τὸν ἴδιον νυμφίον Χριστὸν γεραίρει ταῖς χαριστηρίοις φωναῖς ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοῖς αἰῶνας τῶν αἰώνων ἀμήν.—ι΄ (φ. 135 α). "**Τοῦ αὐτοῦ** Λόγος πέμπτος." Ἀρχ. Ἀγαπητοὶ μὴ ξενίζησθε τῇ ἐν ὑμῖν πυρώσει. Τέλ. ἵνα καὶ πρὸς αὐτὸν καὶ πρὸς ἀλλήλους χριστοφιλῶς εἰρηνεύοντες εὑρεθῶμεν τὴν εἰρήνην καὶ τὸν ἁγιασμὸν κατορθοῦντες ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ια΄ (φ. 157 α). "**Τοῦ αὐτοῦ Μητροφάνους μητροπολίτου Σμύρνης** Ἐξήγησις τῆς **Πέτρου** δευτέρας καθολικῆς ἐπιστολῆς." Ἀρχ. Σίμων Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν. Τέλ. καντεῦθεν ἀξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιβ΄ (φ. 168 α). "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος τῆς **Πέτρου** δευτέρας καθολικῆς." Ἀρχ. Τοῦτο πρῶτον γινώσκοντες ὅτι πᾶσα προφητεία γραφῆς ἰδίας ἐπίλυσις οὐ γίνεται. Τέλ. μᾶλλον δὲ τοῖς πᾶσιν ὁσμὴ ζωῆς πρὸς ζωὴν εὐωδιάζουσα τὴν αἰώνιον καὶ καταξιωθῶμεν δὲ κατὰ τὸν μέλλοντα βίον τῆς τῶν οὐρανῶν βασιλείας ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν. Τέλος τοῦ δευτέρου λόγου τῆς **Πέτρου** δευτέρας καθολικῆς ἐπιστολῆς.—ιγ΄ (φ. 178 α). "**Τοῦ αὐτοῦ** Λόγος τρίτος τῆς **Πέτρου** δευτέρας καθολικῆς ἐπιστολῆς." Ἀρχ. Ταύτην ἤδη ἀγαπητοὶ δευτέραν γράφω ὑμῖν ἐπιστολήν. Τέλ. ἐξ ὅλης ψυχῆς καὶ διαθέσεως καὶ καρδίας φαμὲν αὐτῷ Χριστῷ δόξα καὶ κράτος καὶ μεγαλοσύνη καὶ ὕμνος ἀσίγητος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιδ΄ (φ. 194 α). "**Τοῦ αὐτοῦ Μητροφάνους μητροπολίτου Σμύρνης** Ἑρμηνεία τῆς **Ἰωάννου** καθολικῆς πρώτης ἐπιστολῆς." Ἀρχ. Ὃ ἦν ἀπ' ἀρχῆς δ ἀκηκόαμεν δ ἑωράκαμεν τοῖς

ὀφθαλμοῖς ἡμῶν. Τέλ. ἵνα καὶ μετὰ τῶν δικαίων ἐκλάμψωμεν ὡς ὁ ἥλιος καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῶμεν ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιε' (φ. 211 α). "**Τοῦ αὐτοῦ** Λόγος δεύτερος **τῆς Ἰωάννου** πρώτης καθολικῆς ἐπιστολῆς." Ἄρχ. Γράφω ὑμῖν τεκνία μου ὅτι ἀφέονται ὑμῶν αἱ ἁμαρτίαι. Τέλ. καὶ μένοντα δὲ τὸν Χριστὸν ἐν ἑαυτοῖς ἔχειν ἵνα καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ις' (φ. 226 β). "**Τοῦ αὐτοῦ** Λόγος τρίτος **τῆς Ἰωάννου** πρώτης ἐπιστολῆς." Ἄρχ. Τεκνία μηδεὶς πλανάτω ὑμᾶς. Ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιος ἐστί. Τέλ. ἵνα καὶ μένοντες ἐν αὐτῷ καὶ μένοντα δὲ τὸν Θεὸν ἔχοντες ἐν ἑαυτοῖς ἀκολούθως καταληφθείημεν καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιζ' (φ. 235 α). "**Τοῦ αὐτοῦ** Λόγος τέταρτος **τῆς Ἰωάννου** πρώτης ἐπιστολῆς." Ἄρχ. Ἀγαπητοὶ μὴ παντὶ πνεύματι πιστεύητε. Τέλ. καὶ τὸν Θεὸν εἰλικρινῶς καὶ τοὺς ἀδελφοὺς ὡς ἑαυτοὺς ἀγαπῶντας τὴν ἀμφοτέρωθεν εὔκλειαν ἀπενέγκασθαι καὶ κληρονομῆσαι τὴν τῶν οὐρανῶν βασιλείαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.—ιη' (φ. 246 α). "**Τοῦ αὐτοῦ** Λόγος πέμπτος **τῆς Ἰωάννου** πρώτης καθολικῆς ἐπιστολῆς." Ἄρχ. Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἐκ τοῦ Θεοῦ γεγέννηται. Τέλ. ἵνα ποιήσῃ τοὺς γονεῖς οὐρανίους καὶ τοὺς ἀποίκους τῆς Ἐδὲμ κληρονόμους ἀποφήνῃ τῆς τῶν οὐρανῶν βασιλείας ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι τοὺς εἰς αὐτὸν ἠλπικότας ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—ιθ' (φ. 258 β). "**Τοῦ αὐτοῦ** Ἑρμηνεία **τῆς Ἰωάννου** δευτέρας ἐπιστολῆς." Ἄρχ. Παράλληλος τῇ προτέρᾳ καὶ τῆς δευτέρας ἐπιστολῆς ἔοικε προδήλως ὁ χαρακτήρ. Τέλ. καὶ συνημμένοι διὰ πίστεως εἰλικρινοῦς καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης καὶ ζωῆς οὐρανόφρονος ἵνα καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ καὶ ἀγαθῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.—κ' (φ. 271 α). "**Τοῦ αὐτοῦ** Ἑρμηνεία **τῆς Ἰούδα** τοῦ ἀποστόλου ἐπιστολῆς." Ἄρχ. Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου τοῖς ἐν Θεῷ πατρὶ ἡγιασμένοις. Τέλ. δηλονότι τοῦ δι' ἡμᾶς καθὼς ἡμᾶς γεγονότος καὶ πεφυκότος ἀνθρώπου καὶ σώσαντος τῶν ἀνθρώπων τὸ γένος διὰ φιλανθρωπιάν ἀνείκαστον. ὯΙ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ παντοκράτορι πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων ἀμήν.

